donc attendre, et renvoyer à une époque nécessairement indéterminée la mise en vente du premier volume de la BIBLIOTHÈQUE GRECQUE VULGAIRE.

Aujourd'hui que la cessation des hostilités en Orient a permis à un grand nombre de nos souscripteurs de rentrer dans leurs foyers, il est temps, croyons-nous, de faire paraître un volume que l'on nous a déjà plusieurs fois réclamé.

Bien que la guerre d'Orient ait réduit de plus de moitié le chiffre de nos souscripteurs, nous ferons tous nos efforts pour continuer la publication de la BIBLIOTHÈQUE GRECQUE VULGAIRE et pour mériter la bienveillance dont les Grecs instruits n'ont pas cessé de nous donner des preuves.

ÉMILE LEGRAND.

Paris, décembre 1879.

NOTA. Le lecteur est prié de ne pas oublier que le texte du présent volume est imprimé depuis trois ans et demi. Si donc il y trouve quelques façons d'orthographier que j'ai abandonnées depuis lors, il ne doit point y voir un renoncement aux règles que j'ai exposées ailleurs (Voir l'*Introduction* de mon RECUEIL DE POÈMES HISTORIQUES EN GREC VULGAIRE).

ΕΚ ΤΟΥ ΣΠΑΝΕΑ. (P. 675.)

BIBLIOTH. NATIONALE DE PARIS. Manuscrit 396.

Πρὸ πάντων ἔχε τοῦ θεοῦ τὸν φόβον εἰς τὸν νοῦν σου,
καὶ πρόσεχε καὶ φύλαττε τὰς ἐντολὰς τὰς τούτου·
γινώσκει γὰρ ὡς πλαστουργὸς κρυπτὰ τὰ τῶν ἀνθρώπων,
ἐλέγχει καὶ τοὺς λογισμούς, δικάζει καὶ τὰς πράξεις,
καὶ φανεροῖ καὶ τὰ κρυπτὰ καὶ τοὺς κακοὺς κολάζει,
τοὺς δὲ καλοὺς εὐεργετεῖ καὶ φίλους ὀνομάζει·
λέγει γὰρ τις τῶν προφητῶν ἐκείνων τῶν ἀρχαίων·
« τίς ἤλπισεν εἰς κύριον ποτὲ καὶ κατῃσχύνθη; »
Ἄλλος δὲ πάλιν θαυμαστὸς προφήτης οὕτως λέγει·
« ὅστις εἰς ἄνθρωπον θαρρεῖ καὶ εἰς ἄνθρωπον ἐλπίζει,
οὗτος ἐπικατάρατος καὶ ἀπελπισμένος μᾶλλον. »
Τὸν βασιλεὰν ἀγάπα τον, καὶ τίμα παὶ φοβοῦ τον·
καὶ ἂς ἔν' ἡ ὑπόληψίς σου ὀρθὴ καὶ ἡ γνώμη σου ἐλευθέοα,
πρόβλησις ἔστι γὰρ θεοῦ, χριστὸς ἔνι κυρίου·
καί, ὡς ἔνι κίνδυνος ψυχῆς καὶ κόλασις μεγάλη,
ἂν ἀκούσῃς κατὰ τοῦ θεοῦ ῥήματα βλασφημίας
καὶ σιωπήσῃς παντελῶς καὶ οὐκ ἐλέγξῃς μᾶλλον
ὡς βλάσφημον καὶ κάκιστον ἐκεῖνον τὸν εἰπόντα·
οὕτως τυγχάνει κάκιστον καὶ κατὰ βασιλέως,
ἐὰν ἀκούσῃς κατ' αὐτοῦ σκευὴν ἐπιβουλίας,
καὶ οὐ δράμῃς, ὅση δύναμις, καὶ σπεύσῃς ὁλοψύχως

VERS PREMIER. J'avertis ici une fois pour toutes que ce qui se trouve entre crochets est un essai de restitution tenté par moi, soit que les mots remplacés aient disparu du manuscrit par suite de la vétusté, soit que leur absence provienne d'une inadvertance du scribe. — 13. ἔνι. — 16. ἐάν.

νὰ δείξῃς τὸν ἐπίβουλον καὶ νὰ τὸν φανερώσῃς,
νὰ πάθῃ αὐτὸς καὶ μετ' αὐτοῦ νὰ παιδευθῶσιν ἄλλοι,
ἔνοχος εἶσαι πειρασμῶν, θανάτου τιμωρίας·
θεὸς γὰρ ὀνομάζεται ὁ βασιλεύς, παιδίν μου,
καὶ τὸ εἰς αὐτὸν φερόμενον κοινὸς χαημὸς πρὸς πάντας.
Ὡς θέλεις νὰ ἔνι ὁ φίλος σου, παιδίν μου, πρὸς ἐσέναν,
τοιοῦτος ἂς ἦσαι πρὸς αὐτὸν καὶ οὐ μὴ σὲ λείψῃ φίλος·
ὅταν δὲ θέλῃς κτήσασθαι πρὸς ἄνθρωπον φιλίαν,
πολυπραγμόνει, μάνθανε, ψηλάφα, κατερώτα
τὴν γνώμην καὶ τὴν φρόνησιν καὶ τὴν ὑπόληψίν του,
μᾶλλον ἂν εἶχε καὶ πρὸ ἐσοῦ φίλον, καὶ πῶς τὸν εἶχεν,
καὶ ποταπὴν ὑπόληψιν ἔδειξε πρὸς ἐκεῖνον· (P. 676.)
καὶ ἂν μάθῃς ὅτι καθαρὰν ἐφύλαξεν ἀγάπην,
καὶ δόλον οὐκ εἰργάσατο καὶ ὑπόκρισιν οὐκ εἶχε,
τότε πληροφορήθητι καὶ δέξου τον ὡς φίλον·
εἰ δὲ εἰς τὸν πρῶτον ἔσφαλε καὶ οὐκ ἐφύλαξε φιλίαν,
φεῦγε αὐτόν, ὡς δύνασαι, καὶ ἀποχωρίσθησαί τον.
Πρόσεχε αὐτοῦ ὁποῦ ἠκούμπισες κ' ἐπάχθης νὰ δουλεύῃς,
νὰ ἔχῃς τιμήν, ἀσχόλησιν καὶ καθαρὰν ἀγάπην,
καὶ χῶμα γίνου ἂν ἠμπορῇς καὶ ἂς σὲ καταπατῶσι,
κ' ἐξακολούθει θέλημα καὶ ἂς ἦσαι εἰς τὴν βουλήν τους,
καὶ ὡς γνήσιον καὶ ποθητόν, παιδίν, νὰ σὲ ἀνεμάσουν·
μᾶλλον ἐπεὶ ἔχουσιν εἰς σὲ ἀσχόλησιν μεγάλην,
ἁρμόζει σε ἡ ταπείνωσις καὶ δουλοσύνη πᾶσα·
τίμα γοῦν τοὺς αὐθέντας σου καὶ ἀγάπα ὡς τοὺς γονεῖς σου,
ἀγάπα καὶ τοὺς φίλους σου καὶ πάντα νὰ τοὺς ἔχῃς.
Ἀγάπα τὰ στρατιωτικά, πάντοτε μάνθανέ τα,
στρατιῶται ἦσαν οἱ ὅλοι σου καὶ πάπποι καὶ προπάπποι,
καὶ ὅλον τὸ γενολόγιν σου καλοὺς στρατιώτας εἶχε·
καὶ ἂν ἀγαπᾷς καὶ γρηγορῇς συντόμως νὰ τὰ μάθῃς.

24. ἦσαι. — 29. θέλεις. — 39. δουλεύεις. — 41. ἐάν. ἄσε. — 42. καὶ. Cette particule n'est jamais écrite en toutes lettres dans le manuscrit, mais est représentée par le signe paléographique ordinaire. Je l'élide toutes les fois qu'elle se trouve devant le son ε, αι.

Εἰς τὸ κυνήγιν σπούδαζε καὶ τρέχε καὶ γρηγόρει,
ὅτι ὠφελεῖ τὸν ἄνθρωπον μεγάλως εἰς στρατίαν.
Πᾶν ἀγαθὸν καὶ χρήσιμον καὶ μάνθανε καὶ λάλει,
ἄκουε πάντα συνετῶς καὶ χώριζε τὸ κρεῖττον.
Μὴ προλαμβάνῃ ἡ γλῶσσα σου ποτὲ τὸν λογισμόν σου,
πολλοὺς ἀπὸ συναρπαγῆς ἀπώλεσεν ἡ γλῶσσα·
δι' αὐτό, παιδίν μου, πρόσεχε πρῶτον καλὰ καὶ σκόπει,
καὶ τότε λάλει ὀλιγοστὰ καὶ μεμελετημένα.
Ἡ προσευχὴ πρὸς τὸν θεὸν μεγάλως οἰκειοῦται,
καὶ μᾶλλον εἰ προσεύχηται κἀνεὶς ἀπὸ καρδίας·
ὥσπερ ὁποῦ συνομιλεῖ πατέραν του πολλάκις,
θαρρεῖ καὶ λέγει πρὸς αὐτὸν ὅσα καὶ οἷα θέλει·
οὕτως ὁ προσευχόμενος καὶ ψάλλων καταμόνας (P. 677.)
λαμβάνει χάριν ἐκ θεοῦ κ' εὑρίσκει παρρησίαν.
Λοιπὸν εἰς τὴν καρδίαν σου θές το, παιδίν μου, τοῦτο,
καὶ ὅταν εὑρίσκῃς ἄδειαν καὶ ψάλλε καὶ προσεύχου·
ταῦτα γὰρ τὰ φαινόμενα καὶ τὰ λαμπρὰ τοῦ κόσμου
οὐκ ἔχουσιν ὑπόληψιν, οὐ φιλοδεσποτοῦσι·
τίποτ' οὐκ ἔφερε κἀνεὶς εἰς τὸν παρόντα βίον,
πάντες γυμνοὶ ἐγεννήθημεν, γυμνοὶ ἤλθομεν εἰς κόσμον,
καὶ ποῦ γυμνοῦ πτωχότερος; παιδίν μου, τί ἀπεικάζεις:
πλοῦτος καὶ κάλλος, χρήματα καὶ πράγματα καὶ δόξα
παρέρχονται καὶ λύονται, κἂν φαίνωνται πρὸς ὥραν·
ἦθος ὁμοῦ δὲ ταπεινὸν καὶ μετριοφροσύνη
αὐτά εἰσι πλοῦτος ἀληθής, δόξα μὴ πληρουμένη·
αὐτὰ τὸν ἔχοντα ποιεῖ ἐπαινετὸν ἐν κόσμῳ,
καὶ ζῶν καὶ μετὰ θάνατον χάριτας προξενεῖται.
Οὐ ψέγει φρόνιμος ποτὲ τινὰ διὰ πτωχείαν,
οὐδὲ τὸν πλούσιον ἐπαινεῖ διὰ πλησμονὴν χρημάτων·
οὐκ ἔνι ἐκ προαιρέσεως ὁ πλοῦτος καὶ ἡ πενία,
εἰς τοῦ θεοῦ τὸ θέλημα κεῖνται μόνα τὰ δύο·
ἡ γνώμη καὶ προαίρεσις εἰσὶ δὲ τῶν ἀνθρώπων,
αὖτ' [ἔχουν καὶ] τὸν ἔπαινον, αὐταὶ δὲ καὶ τὸν ψόγον.

Les mots entre crochets sont effacés dans le manuscrit, par suite

Γίνωσκε τιμιώτερον τῆς ἀρετῆς οὐκ ἔνι,
τὸ κάλλος γὰρ ἠχρείωσαν ἡ νόσος καὶ τὸ γῆρας,
πολλάκις καὶ τὰ χρήματα βλάπτουν οὐκ ὠφελοῦσιν·
ἡ δ' ἀρετὴ κἂν καὶ γηρᾷ γίνεται λαμπροτέρα,
κέρδος γὰρ ἔχει μέγιστον τὴν ἄνω βασιλείαν.
Μὴ προτιμᾶσαι συγγενοῦς ἀγάπην παρὰ φίλου,
μηδὲ συγκρίνῃς πρόσωπα γνησίων καὶ μακρόθεν·
συγκρῖν' ἀγάπην καθαρὰν καὶ προτίμου παρ' ὅλα,
τί ποτ' οὐκ ἔνι ἀντάλλαγμα πρὸς καθαρὰν ἀγάπην.
Ἄτακτα, γέλοια, καὶ σαλὰ βαροῦ καὶ ἀπόφευγέ τα·
λόγον ἀπόφευγε θρασὺν ὅτι μανιὰν ἐγείρει·
τὸ ἐντρέπεσαι νὰ πολεμῇς, ἐντρέπου καὶ νὰ λέγῃς. (P. 678.)
Πρόσεχε μὴ ἦσαι σοβαρὸς καὶ ἦσαι καὶ αὐθάδης,
σύννους ἂς ἦσαι καὶ πραΰς, καὶ φρόνιμον νὰ σ'ἔχουν·
εἰ τί κακὸν ἂν πολεμῇς, γνώριζε, οὐ λανθάνει·
εἰ γὰρ καὶ λάθῃς ἅπαντας, θεὸν οὐ λάθῃς πάντως,
ἔχεις δὲ καὶ συνείδησιν ὁποῦ σὲ θέλει ἐλέγχειν.
Προσέχου ἀπὸ διαβολῆς καὶ φύλασσε, παιδίν μου,
πολλοὶ γὰρ τὴν ἀλήθειαν πολλάκις ἀγνοοῦντες
καὶ λογοχαρικίζοντες καὶ πρόσωπ' ἀφορῶντες
πολλοὺς ἀνθρώπους ἔβλαψαν ἐκ διαβολῆς ἀδίκως.
Τὸν πλεῖστον χρόνον τῆς ζωῆς αὐτῆς τῆς ἐπικήρου
εἰς λογικὰ μαθήματα γύμνασε τὴν ψυχήν σου·
προκόπτεις γὰρ εἰς τὸ καλὸν ἀπὸ τῶν μαθημάτων,
καὶ μετὰ πάντων θαρρικὰ δύνασαι συντυχαίνειν·
καὶ ὅπερ γυρεύουσι πολλοὶ καὶ οὐκ εὐποροῦν εὑρῆσαι,
σὺ νὰ τὸ εἴπῃς παρευθὺς κ' ἔξεις τιμὴν μεγάλην.
Τοὺς πάντας προχαιρέτιζε μετὰ περιχαρίας,
καὶ δι' αὐτὸ νὰ ἐφέλκεσαι καὶ τὴν ἀγάπην πάντων,
ἂν ἦσαι εἰς πάντας πρόσχαρος κ' εὐόμιλος εἰς ὅλους.

de la vétusté. — 96 et 99. πολεμεῖς. — 102. φύλασσαι. — 109. συντυχένειν. — 112. περιχαρίας. J'ai cru devoir conserver cette orthographe, que l'on rencontre souvent; mais il peut se faire qu'elle ne soit que le résultat de l'iotacisme.

Ὃς ἔχει χρήματα πολλὰ καὶ φρόνησιν οὐκ ἔχει,
οὐκ εὐπορεῖ οἰκονομεῖν τὰ πράγματα εἰς τιμήν του.
Θλίψιν τινὸς καὶ συμφορὰν ποτὲ μὴ ὀνειδίσῃς,
ὅτι τὸ μέλλον ἄδηλον, κοινὴ ἡ πάντων τύχη·
ἂν δύνασαι νὰ εὐεργετῇς καὶ ἂν εὐπορῇς χαρίζειν,
καλῶς δίδε καὶ χάριζε ἵνα σ' εὐχαριστῶσι·
καλὸς καὶ μέγας θησαυρὸς χάρις ὀφειλομένη.
Πρὸς πάντας γίνου εὐόμιλος καὶ ταπεινὸς καὶ πρᾶος,
ἄνθρωπον γὰρ κενόδοξον τίς νὰ τὸν ἀγαπήσῃ;
ἂν ἴδῃς ἄνθρωπον τινὰ θυμούμενον ἀμέτρως,
εἰ τί ἂν εἴπῃ κράτησε καὶ μακροθύμησέ το·
καὶ ἀφ' οὗ κοιμήσῃς τὸν θυμὸν καὶ ἀφ' οὗ τὸν καταπαύσῃς, (P. 679.)
τότε καὶ κατονείδιζε καὶ εἰπέ τον ὅσα θέλεις·
τὸν γὰρ παροξυνόμενον ἂν τὸν κατονειδίσῃς,
ἀπείκασε ὅτι ὠνείδισας ἄνθρωπον μεθυσμένον,
ἢ μᾶλλον καὶ χειρότερον ἐποίησας ἐκεῖνον·
ὡς γὰρ τὰ ξύλα τοῦ πυρὸς τὴν φλόγαν ἐπαυξάνει,
οὕτως καὶ τὸν θυμούμενον ὁ λόγος ἀγριαίνει.
Μὴ γίνεσαι δυσάρεστος εἰς τὸ καθένα πρᾶγμα,
μᾶλλον δὲ συγγνωμόνει τα καὶ ἀκροπαράτρεχέ τα,
ἄνθρωπος γὰρ εἶσαι καὶ σὺ καὶ καθ' ἑκάστην σφάλλεις.
Καὶ τὸ ὀλίγον χάρισμα μεγάλως τὸ εὐχαρίστει,
καὶ ἂν τὸ μικρὸν εὐχαριστῇς νὰ σ' ἔλθῃ καὶ ἄλλο μέγα.
Ἀρχὴ φιλίας ἔπαινος, ἀρχὴ δὲ μάχης ψόγος·
λοιπὸν τοὺς ψόγους ἔασον κ' ἐπαίνει νὰ ἔχῃς φίλους.
Ἀργὰ καὶ μετὰ προσοχῆς ποίει καὶ τὴν βουλήν σου,
τὸ δ' ἔργον μετὰ τὴν βουλὴν συντόμως ἐπιχείρει·
εἰ δ' ἔχεις τίποτε κρυπτὸν καὶ συμβουλὴν γυρεύεις,
κ' ἐντρέπεσαι καὶ οὐ βούλεσαι τὸ νὰ τὸ φανερώσῃς,
ξενοπροσώπως τὸ ἀφηγοῦ, νὰ μὴ δοκῇ ἰδικόν σου,
καὶ νὰ κερδήσῃς τὴν βουλήν, καὶ νὰ σὲ λείπῃ αἰσχύνη.

115. ὅστις au lieu de ὅς. — 119. εὐεργετεῖς. — 123. ἀγαπήσει. — 125. κράτησαι. μακροθύμησαι. — 126. κοιμήσεις.— 129. ἀπείκασαι. ὀνείδισας. — 135. ἦσαι. σφάλεις. — 137. ἐάν. σέ — 144. δοκεῖ. — 145. λείπει.

Ὅταν σὲ στήσουν εἰς ἀρχὴν καὶ πιάσῃς ἐξουσίαν,
καλοὺς ἀνθρώπους φρόντιζε νὰ στήσῃς συνεργούς σου·
εἰ δέ γε στήσεις πονηρούς, ὅσα κακὰ καὶ ἂν πράξουν,
αἴτιος εἶσαι τῶν κακῶν πλειόνως παρ' ἐκείνους.·
Τὴν ἀρετὴν καὶ παίδευσιν ἀγάπα καὶ τὴν γνῶσιν,
πλούτου παντὸς ἐπέκεινα καὶ θησαυρῶν μεγάλων·
ἐκεῖνα γὰρ οὐδέποτε πρὸς τοὺς καλοὺς ὑπάγουν,
ἐκεῖνα παραμένουσιν, ὁ πλοῦτος δ' ὧδε μένει.
Τὴν φρόνησιν ἐπιμελοῦ, παιδίν μου, παρὰ πάντα,
ὁ νοῦς γὰρ μέγας θησαυρὸς ἐπέκεινα τῶν ὅλων, (P. 680.)
καὶ εἰς τόπον ὀλιγούτζικον ἕνι προσχωρημένος.
Ὅταν σ'ἐπέλθῃ χαροπόν, μὴ τὸ κενοδοξήσῃς,
καὶ ὅταν σ'ἐπέλθῃ λυπηρόν, μὴ σὲ νικήσῃ ἡ θλῖψις·
πάντα γὰρ ταῦτα πρόσκαιρα κ' ἐπιμονὴν οὐκ ἔχουν·
ὅταν σὲ ἔλθῃ χαροπόν, χαίρου το, ἀλλὰ μετρίως·
ὅταν σὲ ἔλθῃ λυπηρόν, λυποῦ κ' ἐκεῖν' ὁμοίως·
ὅστις γὰρ λύπην μοναχὴν οὐ δύναται φυλάξαι,
πῶς νὰ φυλάξῃ θησαυρὸν καὶ τίποτε ἄλλο μέγα;
Τοὺς συγγενεῖς σου ἀγάπα τους καὶ τίμα καὶ ἀσχολοῦ τους,
διότι ὁ νόμος λέγει το καὶ ἡ φύσις ἀπαιτεῖ το·
ἂν γὰρ οὐκ ἔχῃς εἰς αὐτοὺς ἀγάπην ὡς ἁρμόζει,
ξένος οὐ μὴ σ'ἐμπιστευθῇ νὰ σ'ἔχῃ ὡς πρέπει φίλον.
Θέλε τοὺς ὄντας μετὰ σοῦ, τοὺς ἔχεις ἐξουσίαν,
μᾶλλον νὰ σὲ ἐντρέπωνται παρὸ νὰ σὲ φοβοῦνται·
γεννᾷ γὰρ σέβας ἐντροπὴ καὶ ὁ φόβος μῖσος μέγα.
Ἂν σὲ καθίσουν εἰς ἀρχὴν καὶ δώσουν σ'ἐξουσίαν,
τοὺς πρὸς ἐσέναν σφάλλοντας, παιδίν μου, συγγνωμόνει·
τοὺς δὲ καὶ ἄλλους βλάπτοντας καὶ κρῖνε καὶ τιμώρει,
καὶ νὰ ἀγαπᾶσαι ὡς συμπαθὴς καὶ δίκαιος, παιδίν μου.
Φεῦγε, παιδίν μου, ὡς δύναμις, φεῦγε τὴν ἀδικίαν·
κἂν εὐτυχῇς, κἂν ἀτυχῇς, κἂν ἔχῃς, κἂν οὐκ ἔχῃς,
ὅμως ὁ πένης ἀφορμὴν εὑρίσκει τὴν πενίαν,

149. ἦσαι. — 166. ἔχεις. — 167. ἔχει. — 169. ἐντρέπονται. — 171. καθήσουν. — 172. σφάλοντας,

ὅτι χρῄζων οὐδέν εἶχε καὶ ἠδίκησε διὰ τοῦτο·
οὐκ ὠφελεῖ δὲ τίποτε τὸ δικαιολόγημάν του·
ὁ πλούσιος καὶ ἀδιάλειπος, ἂν ἀδικῇ ἐξαιρέτως,
κόλασιν ἔχει ἀσύγγνωστον καὶ τιμωριὰν μεγάλην.
Ἂν πρὸς τινὰ ὑποσχεθῇς τίποτε νὰ χαρίσῃς,
συντόμως τοῦτο χάριζε νὰ σ' ἔχῃ χάριν πλήρην·
ἐκεῖνο δὲ τὸ ὑποσχεθῇς ἐξακεραιῶς τὸ δίδε· (P. 681.)
Εἰ δὲ δώσεις τὸ ἥμισυ, ἡ χάρις ὅλη ἐχάθην·
ὁ γὰρ λαβὼν οὐ χαίρεται τοσοῦτον εἰς τὸ ἀπῆρεν,
ὅσον εἰς τὸ [τὸν] ἔλειψε λυπεῖται καὶ γογγύζει·
τίποτ' ἂν δώσῃς δὲ τινά, μηδὲν τὸν ὀνειδίσῃς,
καὶ χάσῃς καὶ τὸ δῶρον σου καὶ τὴν εὐχαριστίαν.
Ἄρρωστον, λαίμαργον κἀνεὶς πῶς δυνηθῇ ἰᾶσαι,
καὶ τὸν μωρὸν ἂν δυστυχῇ τίς νὰ παρηγορήσῃ;
ὁ φρόνιμος δ' ἂν δυστυχῇ παρηγορεῖται μόνος.
Ἂν ἔλθῃς εἰς ὑπόθεσιν καὶ συμβουλὴν θελήσῃς,
γερόντων ζήτησον βουλήν, ἀνθρώπων πειρασμένων,
τῶν νέων δὲ τὰς συμβουλὰς πολλὰ μηδὲν τὰς πιάσῃς,
ὅτι πρὸς τὸ θρασύτερον ὁ νοῦς τους ἀποβλέπει,
καὶ ἄκουσον παράδειγμα ἀρχαίας ἱστορίας.
Τοῦ Σολομῶντος ὁ υἱὸς ὁ Ῥοβοὰμ ἐκεῖνος
δώδεκα σκῆπτρα ἐκράτησε τὰ ἐκράτει ὁ πατήρ του·
καὶ πάντες ἐσυνήχθησαν λέγοντες πρὸς ἐκεῖνον·
« ἐλάφρυνον τὰ βάρη μας καὶ περιανάπαυσόν μας,
πολλὰ γὰρ μᾶς ἐβάρυνε κ' ἔθλιψεν ὁ πατήρ σου·

183. σέ. — 185. δώσεις. Dans ce grec vulgaire du moyen âge, la particule εἰ gouverne aussi le subjonctif; les deux vers suivants de Prodrome, que nous retrouverons plus loin dans la première version du poème κατὰ ἡγουμένων (vers 541-545), le démontrent suffisamment : εἰ δὲ πολλάκις συμβουλὴν τῶν μοναχῶν οἱ πλείους — ποιήσωσι, καὶ δράμωσι πρὸς σὲ τὸν βασιλέα, etc. Voyez encore le vers 61 de la présente pièce. Le grec ancien fournit du reste des exemples de εἰ suivi du subjonctif. — 187. τὸν manque dans le manuscrit. — 188. δώσεις. — 189. χάσεις. — 195. Les mots μηδὲν τὰς sont à peine lisibles dans le manuscrit. Je ne suis pas absolument sûr de ma leçon.

καὶ ἂν ποιήσῃς τίποτε καὶ ἂν μᾶς παρηγορήσῃς,
δοῦλοι σου πάντες νὰ ἤμεθα καὶ νὰ σὲ εὐχαριστοῦμεν. »
Ὁ βασιλεὺς ὡς ἤκουσεν οὕτως τοὺς ἀπεκρίθην·
« ἀφῆτε με νὰ βουλευθῶ μετὰ τῶν ἰδικῶν μου·
καὶ ὑπάγετ', ἀναμείνατε μόνας κἂν τρεῖς ἡμέρας,
καὶ τότε δεῦτε πρὸς ἐμὲ καὶ ὁκάτι νὰ σᾶς εἴπω. »
Ἀπῆλθον κ' ἐκαρτέρησαν οἱ πάντες, ὡς τοὺς εἶπεν,
καὶ ὁ βασιλεὺς ἀπέμεινε μὲ τοὺς οἰκειούς του μόνους·
ἐκάθισεν, ἠρώτησε τοὺς ὅλους περὶ τούτου·
« εἴπατέ μοι τί λέγετε πρὸς τοῦτο τὸ μᾶς εἶπον; »
Εὐθὺς δ' οἱ φρονιμώτεροι γέροντες εἶπον τοῦτο· (P. 682.)
« εὔλογον ἕνι τὸ ζητοῦν καὶ μὴ τοὺς παρακούσῃς,
ἀνάπαυσέ τους ὀλιγὸν καὶ πάντα νὰ τοὺς ἔχῃς. »
Ἀλλ' οὐκ ἠρκέσθη ὁ βασιλεὺς εἰς τὴν βουλὴν ἐκείνων,
ἀλλὰ τοὺς νέους ἔκραξε καὶ μᾶλλον θρασυτέρους,
ὁποῦ συνανετράφησαν μᾶλλον καὶ μετ' ἐκείνου·
καὶ λέγει αὐτοῖς· « εἰπῆτε με καὶ σεῖς βουλὴν μὲ δότε. »
Ἐκεῖνοι δὲ ὡς θρασύτεροι νεώτεροι καὶ αὐθάδεις
κακὴν βουλὴν τὸν ἔδωκαν, ὡς ἔδειξε τὸ τέλος·
ὅμως προετιμήσατο τὴν συμβουλὴν τῶν νέων,
τῶν δὲ γερόντων τὴν βουλὴν ἐκείνων τῶν φρονίμων
ἀφῆκεν την ὡς ἄχρηστον καὶ οὐδὲν τὴν ἠσχολήθη.
Μετὰ δὲ τὴν παρέλευσιν τῶν ἡμερῶν ἐκείνων,
ἦλθε τὸ πλῆθος πρὸς αὐτὸν καὶ παρεκάλει πάλιν·
« ἐλέησον, παρηγόρησον τὴν ἀγανάκτησίν μας! »
Ὁ βασιλεὺς μετὰ θυμοῦ κακῶς τοὺς ἀπεκρίθην·
« οὐκ ἐλαφρύνω τίποτε, μηδὲν παρακαλεῖτε·
ἐβάρυνέ σας, λέγετε, μεγάλως ὁ πατήρ μου,
κ' ἐγὼ τὸ σᾶς ἐβάρυνε νὰ τὸ διπλοτριπλάσω·
ἐπαίδευσέ σας διὰ δαρμῶν, κ' ἐγὼ νὰ σᾶς παιδεύσω

230. J'ai cru devoir substituer à μεγάλος donné par le manuscrit la leçon μεγάλως, qui me semble préférable. Voyez cependant les vers 415 et 445 d'une autre version du même poëme dans les CARMINA GRÆCA MEDII ÆVI de M. Wagner (*Leipzig*, 1874).

μετὰ σκορπίων καὶ θηρῶν καὶ νὰ σᾶς ἐξαλείψω. »
Κ' εὐθὺς τὸ πλῆθος ὥρμησεν εἰς ταραχὴν μεγάλην,
καὶ μετὰ θράσους καὶ θυμοῦ λέγει τὸν βασιλέα·
« ὑπόστρεφε εἰς τὸν οἶκον σου, ποίμαινε τὸν λαόν σου,
οὐκ ἔχεις μέρος μεθ' ἡμῶν οὐδὲ κληρονομίαν. »
Καὶ παρευθὺς ἐγένοντο τὰ δέκα σκῆπτρα εἰς μέρος,
καὶ ὁ βασιλεὺς ἀπέμεινεν εἰς δυὸ καὶ μόνα σκῆπτρα.(P. 683.)
Βλέπεις, παιδίν μου, τί ἔβλαψεν ἡ συμβουλὴ τῶν νέων·
διὰ τοῦτο, παιδίν μου, τῆς βουλῆς πρόσεχε τῶν γερόντων,
καὶ ὅταν λαλοῦν ὑπόθεσιν μὴ περικόπτῃς τούτους,
ἀλλ' ἄκουε προσεκτικῶς πολλὰ καὶ ὠφελεῖσαι.
Ἔχε εἰς τὸν νοῦν σου πάντοτε μελέτην τοῦ θανάτου,
καὶ ὁ φόβος νὰ σὲ πολεμῇ καὶ πάντα νὰ προσέχῃς.
Τοῦτο δὲ πρέπει γνώριζε τὸν κατ' ἀλήθειαν ἄνδρα,
ὁπόταν τύχῃ εἰς πόλεμον νὰ πολεμήσῃ ὡς ἄνδρας,
καὶ ἂν ζήσῃ, ζῇ μετὰ τιμῆς καὶ προκοπῆς μεγάλης,
εἰ δ' ἀποθάνει, ἀπέθανε κἂν οὕτως κἂν ἀλλοίως·
καλλιὼν γὰρ ἔνι ὁ θάνατος μετὰ τιμῆς, παιδίν μου,
παρὰ τὴν ἄτιμον ζωὴν καὶ τὴν ἠπορημένην.
Ἔνδυσον πένητα γυμνόν, χόρτασον πεινασμένον,
θλιβόμενον παρηγόρησον, ἄρρωστον ἐπισκέψου·
εἴ τι γὰρ δώσεις εἰς πτωχούς, ὅσα καλὰ ποιήσεις,
ἐδάνεισές τα τὸν θεόν, χρεώστην ἐκεῖνον ἔχεις·
καὶ μὴ εἰπῇς· « πτωχός εἰμι, καὶ οὐκ ἔχω τί νὰ δώσω. »
Κάλλιον γὰρ ἔνι τὸ μικρὸν τὸ μετὰ προθυμίας,
ὑπὲρ τὰ πράγματα πολλὰ μετὰ δεινοπαθείας·
ἤκουσά γὰρ εἰς τὴν γραφὴν ὅτι πολλοὶ πολλάκις
ἀντὶ πτωχῶν ἐξένισαν κ' ἐδέξαντο ἀγγέλους.
Παντὸς δὲ κατορθώματος ἀγάπη κρείττων ἔνι·
καὶ ἂν ἔχῃς ὅλα τὰ καλὰ καὶ λείπῃ σε ἡ ἀγάπη,
ἐποίησας οὐδετίποτε, ἐχάσες ὅσον εἶχες·

243. ὀφελῆσαι. — 253. Ce vers a une syllabe de trop à son premier hémistiche; on le rendrait correct en lisant θλιμμένον au lieu de θλιβόμενον. — 256. εἴπῃς. — 257. κάλλιον.

ἀληθινὸν δὲ γνώρισμα τὸ τῆς ἀγάπης ἔνι
ἐλεημοσύνη πρὸς πτωχοὺς καὶ πενητευομένους,
μετὰ τῆς ἡμερότητος καὶ γνώμης ἐλευθέρας.
Εἰ δὲ καὶ ὅσον ἀπορεῖς καὶ οὐκ ἔχεις τί νὰ δώσῃς,
κἂν στέναξον τοὺς πάσχοντας, θλίβου τοὺς δυστυχοῦντας·
διὰ λόγου παρηγόρει τους καὶ φαίνου ὅτι πονεῖς τους,
μέγας μισθὸς ἔνι καὶ αὐτὸ καὶ μέγα κέρδος ἔχει,
καὶ ὅστις τὰς ξένας συμφορὰς θλίβεται ὡς ἰδικάς του·
χαρὰν εὑρίσκει ἀντίσηκον τὴν ἄνω βασιλείαν.
Ἐλεημοσύνη ἐρρύσατο πολλοὺς ἐκ τοῦ θανάτου,
καὶ ἄλλα πολλὰ κατώρθωσε θαυμάσια μεγάλα,
Ἂν σὲ λυπῶσιν ἄνθρωποι καὶ ἂν σὲ καταφρονῶσιν,
αὐτίκα μὴ παροξυνθῇς, μηδὲ μικροψυχήσῃς·
ὡς δὲ στερρὸς καὶ φρόνιμος μᾶλλον ὑπόμενέ τους,
εἰπὲ πρὸς τὴν καρδίαν σου καὶ πρὸς τὸν λογισμόν σου·
« ἐγὼ θεὸν καταφρονῶ κ' ἐκεῖνον παροργίζω,
καὶ παρακουῶ τοὺς λόγους του καὶ οὐ ποιῶ τὸ θέλημάν του.
ἐκεῖνος ἀναμένει με καὶ ἀναδέχεταί με,
καὶ ἂν ἐλυπήθην τίποτε καὶ ἂν ἐκατεφρονήθην,
τίποτ' οὐκ ἔνι θαυμαστόν, τίποτ' οὐκ ἔνι ξένον. »
Καὶ ἁπλῶς ἂν ἔνι λυπηρὸν τίποτε τὸ σὲ ἔλθῃ,
δέχου ὡς παίδευσιν θεοῦ, καὶ μᾶλλον εὐχαρίστει.

267. δώσεις. — 280. παρακούω.

ΔΙΔΑΧΗ ΣΟΛΟΜΩΝΤΟΣ (F. 233 *a*.)

ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΥ ΥΙΟΥ ΡΟΒΟΑΜ.

BIBLIOTHÈQUE NATIONALE. Manuscrit 2027.

Υἱέ μου, ἂν θέλῃς νὰ χαρῇς ἀμέριμνα εἰς τὸν κόσμον,
βλέπε μὲ τὸν ἀφέντην σου δικάσιμον μὴ ποιήσῃς,
καὶ θυμωθῇ καὶ θλίψῃς τον καὶ ἄδικον σὲ ποιήσῃ,
καὶ χάσῃς τὴν ἀγάπην του διὰ μόνην συντυχίαν,
ἀμμὴ ὡς τὸ γνώθεις πάντοτε καὶ ἀναβιβάζει ὁ νοῦς σου,
συνέργασαι καὶ ποῖσε το ὅλον διὰ τὴν τιμήν σου.
Υἱέ μου, ἂν θέλῃς νὰ χαρῇς ἀμέριμνα εἰς τὸν κόσμον,
βλέπε μὴ ῥίψῃς πόθον σου εἰς χρήματα τοῦ κόσμου,
τί ὁ κόσμος ἔν' προσωρινός, καὶ ἡμέραις σου εἶναι ὀλίγαις,
τὸ πλοῦτος, τὸ λογάρι σου ὡς ἄνεμος ὑπάγει·
ἂν ἔν' ἡ ἐλπίδα σου εἰς γῆν, 'ς ἀμπέλια καὶ εἰς χωράφια,
ἀπὸ χειμῶνος δυνατοῦ, ἀπὸ ἀνυδριᾶς καὶ ξήρας
ξηραίνονται καὶ χάνονται καὶ πάγει ἡ ἐλπίς σου ὅλη·
εἴ τε θαρρεῖς εἰς πλοῦτον σου, εἰς κάστρη καὶ ἅρματά σου,
ἀλλότριος ξένος ἔρχεται ὃν οὐκ ἐσὺ γνωρίζεις,

TITRE. σολομόντος.

VERS PREMIER. ἐὰν θέλεις νὰ χαρεῖς. — 2. δικάσημον. — 3. ποιήσοι. — 5. ἀμί, et toujours ainsi dans ce texte. γνώθης. — 6. συνέργασε. — 7. θέλεις. — 9. ὅτι au lieu de τί. προσορινός. Peut-être serait-il mieux d'écrire ᾖ ἡμέραις. — 10. λογάρισσου. — 11. ἔνι, εἰς. ἀμπέλεια. χοράφια. — 12. χειμόνος. — 13. πάγη. — 14. κάστροι. — 15. Dans le manuscrit, ἔρχεται ξένος ἀλλότριος, ce qui donne une syllabe de trop, tandis que, avec l'arrangement que je propose, le premier hémistiche a seulement huit syllabes, ἀλλότριος ne comptant que pour trois, par suite de la synizesis des deux dernières.

ἐπαίρνει κ' ἐξαλείφει τα κ' ἔρημος ἀπομένεις·
ἐκεῖνος ὑποτάσσει τα καὶ χαίρεται μὲ ταῦτα·
ἀμμὴ εἰς τὸν θεὸν τοῦ οὐρανοῦ, τὸν ποιητὴν τοῦ κόσμου,
ἔχε τὸν νοῦν σου πάντοτε μὲ ὅλην σου τὴν καρδίαν,
καὶ πάντα παρακάλει τον νὰ σώσῃ τὴν ψυχήν σου,
νὰ σὲ λυτρώσῃ ἀπὸ κακὸν καὶ κίνδυνον τοῦ κόσμου.
Γιέ μου, βλέπε μὴ ἐμπλακῇς, γυναῖκα μὴ ἐπάρῃς
διὰ κάλλος καὶ διὰ χρήματα, διὰ εὐγένειαν καὶ πλοῦτον· (F. 233 *b*.)
πρῶτον ἰδὲ κ' ἐρεύνησε καὶ κατασκόπευσέ την,
ἂν ἔνι καλοπόληπτος καὶ θέλῃ τὴν τιμήν σου,
καὶ ἂν ἔχῃ τέχνην, μηχανήν, βλέπε μὴ τὴν ἐπάρῃς,
καὶ θλίψῃ, καὶ πικράνῃ σε, καὶ εἰς ἀτιμιὰν σὲ φέρῃ·
ὅτι τὸ πρᾶγμα λείπει την, τὸν χρῆμαν ὑπαγαίνει,
καὶ ὡς πότε ζῇς καὶ ὡς πότε ζῇ, θλίψιν καὶ πόνον ἔχεις·
καὶ κάλλιον πᾶρε σιγανήν, νὰ θέλῃ τὴν τιμήν σου,
νὰ ἔχῃ πρᾶγμα ὀλιγόν, νὰ χαίρεσαι μὲ ταύτην.
Γιέ μου, ἃ σὲ δώσῃ ὁ θεὸς ἐκ τὰ καλὰ τοῦ κόσμου,
βλέπε πτωχόν σου συγγενὴν μὴ τὸν περηφανεύσῃς·
ἀλλὰ συγκράτει, βοήθει τον κατὰ τὴν δύναμίν σου,
νὰ σ' ἔχῃ χάριν ὁ θεός, νὰ αὔξῃ καὶ ἡ τιμή σου.
Γιέ μου, ἀγάπα τοὺς πτωχούς, πόθει καὶ τοὺς πλουσίους,
λόγους ἐξεύρεις ἀληθούς, ψευδεῖς μηδὲν τοὺς λέγῃς.
Γιέ μου, μετὰ πονηρῶν, μετὰ κακῶν μὴ ἐσμίγῃς,
μὴ συντροφεύσῃς μετ' αὐτῶν, μὴ συνοδοποιήσῃς,
ὅτι ὁ κακὸς καὶ ὁ πονηρὸς πάντα ζηλιάρης ἔναι,
καὶ πάντα μαίνεται πολλὰ ὅτι καλὸν ἀκούσῃ.
Γιέ μου, ἂν πέσῃ ὁ φίλος σου εἰς ἐντροπὴν κ' αἰσχύνην,
σύνδραμε ὅσον ἠμπορεῖς, κρύψε τὴν ἐντροπήν του.

16. ἐπέρνη καὶ ἐξαλήφητα καί. — 24. εἰδὲ καί. — 25. ἐάν. καλλοπόλυπτος. θέλει. — 26. ἐὰν ἔχει. — θλίψει. πικράνει. φέρει. — 28. λείπη. ὑπαγένι. — 30. ἔπαρε. — 31. ἔχει. χαίρεσε. — 32. ἃ, pour ἄν, est à conserver. Voyez l'excellent lexique de Somavera, à ce mot. Le ms. donne ἀσε. δώσει — 34. βοήθη. — 35. σέχει. — 37. ἐξεύρηε. λέγει. — 38. μηδὲν ἐσμ. — 40. ζηλιάρις ἔνε. — 41. ἀκούσει. — 42. πέσει. καί. — 43. ὑμπο-

Υἱέ μου, ἂν ἔχῃς μισταργόν, εἴτε ὑποταγάτην,
καὶ συνταγῇς τον τίποτε, βλέπε μὴ τὸν κομπώσῃς
τὸ χάρισμαν, τὴν ῥόγαν του καὶ τὴν φιλοτιμιάν του, (F. 234 *a*.)
καὶ ἔχῃς κρίμαν ἐκ θεοῦ καὶ βλασφημιὰν μεγάλην,
ὅτι δι' αὐτὸ δουλόνεται, παιδίν μου, εἰς ἐσέναν,
πουλεῖ τὰ πάντα του ὡς δι' ἐσέν, καὶ βάνει τὸν ἑαυτόν του,
καὶ βάνει καὶ τὴν σάρκαν του εἰς κάμινον δι' ἐσέναν.
Υἱέ μου, ἂν χάσῃς, μὴ θλιβῇς, μηδὲ κακοκαρδίσῃς,
οὕτως τὸ ἔχει τὸ ῥιζικόν καὶ οὕτως τὸ ἔχει ὁ κόσμος,
ἄλλον ὑψόνει σήμερον, χαμηλόνει αὔριον ἄλλον.
Υἱέ μου, ἂς ἦσαι ταπεινός, καὶ μὴ 'σαι τραχηλιάρης,
ἀμμὲ ἀγάπα τὴν πραότητα καὶ τὴν φιλοξενίαν,
καὶ βλέπε μὴ δικάζεσαι μὲ φίλον καὶ πλησιόν σου,
νὰ μὴ νικήσῃ ἡ τέχνη του τὴν δύναμίν σου ὅλην.
Υἱέ μου, βλέπε μὴ ταγῇς, βλέπε μηδὲ χαρίζῃς
πρᾶγμα τὸ οὐδὲν ἠπορεῖς, οὐδ' ἐξουσίαν τὸ ἔχεις·
μὴ θεραπεύσῃς φίλον σου μὲ ψευδὴν συντυχίαν,
καὶ κάμῃς τον ἀντίδικον κ' ἔχῃ σε ψεμματάρην.
Υἱέ μου, ἂν σὲ θλίψῃ ὁ θεὸς καὶ χάσῃς τὸ ἐδικόν σου,
μὴ βλασφημήσῃς τίποτας, μηδὲ κακοκαρδίσῃς,
ἀμμὴ ἔχε τὰς ἐλπίδας σου εἰς τὸν θεὸν τῶν πάντων,
καὶ πάντα παρακάλει τον ἵνα σου ὑπακούσῃ,
ὅτι αὐτὸς ἔχει δύναμιν νὰ σὲ τὸ ἀντιμέψῃ.
Υἱέ μου, πάντα προτιμοῦ, στρέφε τὸ σὲ δανείζουν,

ρεῖς κρύψαι. — 44. ἔχεις μυσταργόν. ὑποταργάτην. En faisant la correction de ce dernier mot, je risque bien de faire parler le poëte plus correctement qu'il ne l'a voulu lui-même. L'auteur a peut-être pensé à quelque composé d'ἐργάτης. La version de ce poëme publiée par M. Wagner donne ὑποταγάτον (vers 565). — 45. συνταγίστον. κομπόσῃς. — 47. ἔχεις. φημιάν. Le scribe a oublié la première syllabe. — 48 δουλώνεται παιδήν. — 49. πουλῆ. — 52. ῥιζηκόν.— 53. ὑψώνει. χαμηλώνῃ. — 54. L'υ de υἱέ n'est pas dans le manuscrit. ἀσεῖσε. μήσε τραχηλιάρις. — 55. ἀμέ. — 56. δικάζεσε. — 59. ὑπορεῖς οὐδέ. — 61. καὶ ἔχει σε ψεματάριν. — 62. θλίψει. — 65. ὑπακούσει. — 66. τὴν δύναμιν.

καὶ οὕτως νὰ ἦσαι δυνατός, νὰ ἦσαι καὶ στερεωμένος,
καί, ὅταν βιάζεσαι πολλά, νὰ εὕρῃς νὰ σοῦ δανείζουν.
Γιέ μου, θάνατόν τινος μὴ τὸν παρακαλέσῃς, (F. 234 *b.*)
διὰ νὰ ποτάξῃς πρᾶγμαν του, νὰ ἐπάρῃς τὸ ἐδικόν του,
ὅτι ἡ ἀρρωστιὰ καὶ ὁ θάνατος κοινὰ εἶναι εἰς τὸν κόσμον,
καὶ ἂν τύχῃ νἄλθῃ εἰς ἐσὲν τὸ ἐπιθυμεῖς δι' ἐκεῖνον.
Γιέ μου, κήρυττε καλὰ καὶ λέγε τὴν ἀλήθειαν·
βλέπε δι' ἐχθρὰν καὶ σκάνδαλον δίκαιον μὴ παρακρίνῃς.
Γιέ μου, ἂν ἦσαι δυνατός, καὶ ἂν ἦσαι ἀνδρειωμένος,
βλέπε μὴ τὸ καυχήσεσαι ὅτι ἀνδρειωμένος εἶμαι,
ἀμμὴ εἰς τὸν θεὸν τοῦ οὐρανοῦ, τὸν ποιητὴν τοῦ κόσμου,
εἰς τοῦτον γὰρ ἤλπιζε νῦν, καυχοῦ καὶ ἔχε θάρρος.
Γιέ μου, εἰ δὲ καὶ ἂν ἔπεσες, καὶ ἂν ἔποικες καὶ φόνον,
βλέπε γὰρ τὴν γυναῖκα σου μηδὲν τ' ὁμολογήσῃς,
ἂν τύχῃ καὶ τὴν χολιασθῇς καὶ δικασθῇς μὲ ταύτην,
καὶ βάλῃ σε εἰς 'πόθεσιν καὶ κίνδυνον θανάτου.
Γιέ μου, ἂν ἦσαι δυνατὸς καὶ φρόνιμος ἢ πλούσιος,
καὶ ἔχῃς γείτοναν πτωχόν, μὴ ἐπάρῃς τὸ ἐδικόν του,
μὴ ἐπάρῃς τὴν ἐλπίδαν του, μηδὲν τὸν ἀπωλέσῃς,
διότι ἔν' πτωχὸς καὶ οὐ δύναται λογάριν ἵνα δώσῃ
[καὶ] νὰ ἀποκριθῇ αὐτὸς νὰ δικαστῇ μετά σου.
Γιέ μου, πάντα πρόσεχε ἄλλον μὴ κατακρίνῃς
εἰς πρᾶγμαν τὸ ἔποικες καὶ σὺ καὶ πάλιν πολεμεῖς το.
Γιέ μου, ἰδὲ κ' ἐρεύνησε τὸ τί λαλοῦν δι' ἐσέναν,
καὶ [τὸ] πῶς ἔπραξες καὶ σὺ κ' ἔποικες εἰς τὸν κόσμον. (F. 234*a.*)
Γιέ μου, ἂν ἔχῃς συντυχιὰν καὶ ὑπόθεσιν καὶ κρίσιν
μετὰ πτωχὸν καὶ ταπεινόν, μηδὲν τὸν ἀδικήσῃς·
μὴ δώσῃς δῶρον τῷ κριτῇ ἢ φίλον τὸν ποιήσῃς,

68. εἶσαι καί. — 69. βιάζεσε. — 70. L'u de γιέ a été omis. — 72. ἀρωστία. — 73. τύχει. — 76. εἶσαι. εἶσαι ἀνδριομένος. — 77. καυχήσισε. — 78. εἰμί. — 80. εἰδέ. ἔπεικες. — 81. τὸ ὁμολογ. — 82. τύχει. χολιασθείς. δικασθείς. — 83. βάλλει. — 84. εἶσε. φρόνημος. — 85. γήτοναν. — 86. ἐπάρεις. — 87. ἔνι. δώσει. — 89. πάντα deux fois. — 90. ἐσύ. — 91. καί. — 92. καί. — 93. ἔχεις. — 95. ποιήσεῖς.

διὰ νὰ νικήσῃς τὸν πτωχόν, νὰ ἐπάρῃς τὸ ἐδικόν του,
ὅτι ὁ πτωχὸς οὐ δύναται λογάριν ἵνα δώσῃ,
νὰ δώσῃ πρᾶγμαν τὸν κριτὴν νὰ κρίνῃ τὴν ἀλήθειαν·
ἀμμὴ εἰς τὸν θεὸν τοῦ οὐρανοῦ καὶ κτίστην τῶν ἁπάντων
θέσε τοῦτο διηνεκῶς καὶ κρίνει τὴν ἀλήθειαν·
καὶ δι' αὐτὸ ἰδὲ καὶ πρόσεξε ἵνα μηδὲν τὸν πταίσῃς,
καὶ κρίνει σε εἰς τὴν κρίσιν του, παὶ μὲ τὴν δύναμίν του,
χωρὶς δὲ δώρου τίποτε, χωρὶς φιλοτιμίας.
Γιέ μου, ἂν ἔχῃς χρήματα πολλὰ καὶ ἐξουσίαν,
βλέπε πτωχὸν καὶ ταπεινὸν μὴ τὸν περιγελάσῃς·
ὅτι ὁ χρόνος ὡς τροχὸς γοργὸν παραγυρίζει,
φέρει τὸν πλούσιον εἰς πενιὰν καὶ τὸν πτωχὸν εἰς πλοῦτον.
Γιέ μου, ἂν ἦσαι πούποτε καὶ ἴδῃς καλλιώτερόν σου,
πρόσεχε ὅσον ἠπορεῖς, διπλοχαιρέτιζέ τον,
καὶ οὕτως νὰ ἔχῃς ἔπαινον καὶ ἡ τιμὴ πληθαίνει.
Γιέ μου, ἂν ἦσαι ἐντροπαλός, βλέπε τί συντυχαίνεις,
εἰ ἔνι ὁ λόγος σου καλὸς καὶ ἡ συντυχιά σου ἀλήθεια,
μὴ συμπλακῇς πολύλογος καὶ εἴπῃς ἔξω δικαίου.
Γιέ μου, ἂν ἴδῃς γέροντας καὶ μυστικῶς λαλοῦσιν, (F. 234* *b*.)
καὶ ἔχουν λόγους δυνατούς, μηδέν τους περικόψῃς.
Γιέ μου, ἂν ἔχῃς γείτοναν καὶ δείχνει σε κακίαν,
καὶ μαίνεταί σε ὡς κακός, γυρεύει τὴν ζημιάν σου,
καὶ μάθῃς καὶ γνωρίσῃς τον, υἱέ μου, πρόσεξέ τον,
καὶ βλέπε μὴ τὸν πιστωθῇς καὶ ζημιὰν σὲ ποιήσῃ.
Γιέ μου, ἂν σὲ δώσῃ ὁ θεὸς χάριτας εἰς τὸν κόσμον,
νὰ ξεύρῃς τέχνην, φρόνησιν, μὴ τὴν καταφρονήσῃς·
ἀμμὴ συνέργα εἰς τὸ καλόν, δεῖχνε τὴν φρόνεσίν σου.
Γιέ μου, βλέπε τί λαλεῖς καὶ τί τὸ συντυχαίνεις,

97. δώσει. — 98. κρίνει. — 101. εἰδέ. — 105. περιγελάσεις. — 107. παινίαν. — 108. εἶδε. καλλιότερον. — 109. ὑπορεῖς δυπλοχερέτιζε. — 110. πληθένει. — 111. εἶσαι. συντυχένεις. — 112. ἀληθεῖς, au lieu d'ἀλήθεια. — 113. συμπλακεῖς. εἴπεις. — 116. ἔχεις γίτωναν καὶ δείχνισε. — 117. γηρεύει. — 118. μάθεις. — 119. πιστοθείς. ποιήσει. — 120. δώσει. — 123. Après le second τί, le manuscrit donne ἔνι, qui est inutile au sens de la phrase et contraire à la mesure: συντυχένης.

δικάσιμον πολλοῦ καιροῦ βλέπε μὴ τὸ ἀναφέρῃς,
καὶ βάλῃς το εἰς ἐνθύμησιν πολλῶν χρονῶν κακίαν.
Γιέ μου, ἂν ἦσαι δυνατὸς κ' ἔχῃς πολλὴν ἀνδρείαν,
βλέπε ἄσχημον καὶ ἀδύνατον μὴ τὸν καταφρονήσῃς,
πολλάκις μὴ ἐξεύρῃ μηχανὰς κ' ἐντρέψησαι εἰς ἀνθρώπους.
Γιέ μου, ἂν ἔχῃς χρήματα πολλά, μὴ τὰ ἐξοδιάσῃς
εἰς ἀχρηστείας ἔρωτα, εἰς μέθαις καὶ ἀσελγείαις,
ἀλλ' ἔχε τα εἰς ὠφέλειαν καλὴν διὰ τὴν ψυχήν σου,
μὴ τὰ ἐξοδιάσῃς ἄφαντα εἰς καπηλειὰ καὶ πόρνας,
μήτε εἰς ταβέρνας μὲ μωροὺς καὶ τότε ἀναγελοῦν σε,
καὶ θλίψῃς φίλους, συγγενεῖς, καὶ σὲ κακὸν κρατῶσιν·
ἀμμὴ εἰς καλὸν καὶ προκοπὴν φίλων καὶ συγγενῶν σου,
εἰς ἐκκλησιὰν διὰ τὸν Χριστόν, πτωχὸν διὰ τὴν ψυχήν σου, (F. 235*a*.)
καὶ οὕτως νὰ ζῇς εἰρηνικά, νὰ σὲ ἀγαπῶσι πάντες,
νὰ ἔχῃς χάριν ἐκ θεοῦ πάντα νὰ σὲ πληθαίνῃ.
Γιέ μου, πάντα πρόσεξε, βουλὴν ἂν σὲ ζητήσουν,
λόγους τοὺς ξεύρεις ἀληθούς, εἰπὲ [καθὼς] τοὺς γνώθεις.
Τὸ δίκαιον καὶ εὔλογον πάντα συνέργιζέ το,
καὶ τὸ κακὸν καὶ βλάβῃ σε πάντα ἐμπόδιζέ το.
Γιέ μου, βλέπε ἀπὸ πτωχὸν δάνειον μηδὲν ἐπάρῃς·
ὅτι ἂν οὐ τὸ στρέψῃς σύντομα, γοργὸν νὰ τοῦ τὸ δώσῃς,
καὶ περπατεῖ ἐξοπίσω σου καὶ τρέχει [καὶ] φωνάζει.
Γιέ, τῶν κατορθωμάτων σου ἡ ἀγάπη ἔνι τὸ κρεῖττον,
καὶ ἂν ἔχῃς ὅλα τὰ καλὰ καὶ λείπῃ σε ἡ ἀγάπη,
ἔποικες οὐδετίποτε κ' ἐχάσες ὅ,τι ἂν εἶχες.

125. βάλεις ἐνθυμισιν. — 126. καὶ ἔχεις. — 127. καταφρονήσεις. — 128. μιχανὰς καὶ ἐντρέψισε. — 129. υἱέ μου ἂν ἔχεις. βλέπε μὴ τὰ. ἐξοδιάσῃς. — 131. ὀφέλειαν. — 132. ξοδιάσῃς. καπιλία καὶ πόρνων. — 133. ἀναγελοῦ, que l'on pourrait, à la rigueur, conserver. — 134. θλίψεις. — 136. ἔχεις. πληθένει. — 140. ἠξεύρεις. — 141. συνέργηζέτω. — 142. βλάβει. ἐμπόδιζέτω. — 143. δάνον, et un ω (ou ει) sur l'ο. ἐπάρεις. — 144. οὐ τὸ στρέψεις. δώσεις. — 146. υἱέ μου. — 147. καὶ ἐὰν ἔχεις. λύπησαι. La dernière syllabe d'ἀγάπη est déchirée dans le manuscrit. — 148. οὐδὲ τίποτε καί. — Ce poëme se termine par le mot τέλος.

ΑΜΑΡΤΩΛΟΥ ΠΑΡΑΚΛΗΣΙΣ.

BIBLIOTH. NATIONALE. Manuscrit 929.

Ἐμὲν οὐ πρέπει νὰ λαλῶ, οὐδὲ νὰ συντυχαίνω,
οὐ πρέπει ἐμὲν νὰ βλέπωμαι, οὐδὲ πάλιν νὰ βλέπω,
οὐδὲ νὰ τρέφωμαι τροφὴν τὴν πρέπουσαν ἀνθρώπους·
ἐμένα πρέπει νὰ θρηνῶ ἡμέραν ἐξ ἡμέρας,
νὰ τρώγω δὲ τὸν χοῦν τῆς γῆς καὶ τῶν δενδρῶν τὰ φύλλα,
νὰ πίνω δὲ τὰ δάκρυα μου διὰ τὰς αἰσχράς μου πράξεις,
τί ἐνίκησα ὑπερβολικῶς τὸν ἄσωτον ἐκεῖνον·
ἐκεῖνος γὰρ ὑπέστρεψεν ἀπὸ τῆς ἀσωτίας,
καὶ τὸ « ἥμαρτον! » ἐδόησεν, καὶ υἱότητος ἠξιώθη.
Ἐγὼ δὲ προσκολλώμενος τοῖς πονηροῖς πολίταις,
λιμῷ πολλῷ διαφθείρομαι πάσης ἀγαθοεργίας,
καὶ ἀναισθητῶ καὶ οὐ βούλομαι τὸν ἄσωτον μιμεῖσθαι·
εἰ δὲ καὶ μόλις αἰσθανθῶ ἐκείνου τὴν μετάνοιαν,
εὐθὺς καταλαμβάνει με ἔρως φιληδονίας,
καὶ κατασπᾷ με ὁ λογισμὸς πρὸς πράξεις ἀθεμίτους·
σὺ δέ, σωτήρ μου, σῶσον με, κἂν θέλω κἂν μὴ θέλω!

TITRE. Le manuscrit donne seulement στίχοι. — VERS PREMIER. συντυχένω. — 3. τρέφομαι. — 5. τρόγω. — 6. ἐσχράς. — 9. υἱώτητος. — 10. προσκολλόμενος. — 11. ἀγαθωεργίας. — 12. ἀνεσθητῶ. — 13. ἡ. μετανοίαν. — 14. μαι ἔρρος.

La présente pièce commence à la page 71 *du manuscrit CMXXIX et se termine à la page* 72.

ΣΤΊΧΟΙ ΓΡΑΜΜΑΤΙΚΟΎ ΜΙΧΑΗΛ ΤΟΥ ΓΑΥΚΑ ΟΥΣ ΈΓΡΑΨΕ ΚΑΘ' ΟΝ ΚΑΤΕΣΧΈΘΗ ΚΑΙΡΟΝ ΈΚ ΠΡΟΣΑΓΓΕΛΊΑΣ ΧΑΙΡΕΚΆΚΟΥ ΤΙΝΌΣ.

BIBLIOTH. NATIONALE. Manuscrit 228.

Ἤμουν παιδίν, ἐγήρασα, πολὺν διῆλθον κόσμον. (F. 21 *a*.)
σοφῶν ἀρχαίων ἤκουσα, πολλὰς ἀνέγνων βίβλους,
πάντων ἐν πείρᾳ γέγονα, πᾶσαν ὁδὸν ἐξεῦρον,
πλάσματα πάλιν μυθικὰ καὶ λόγους γραϊδίων
ἠκριβωσάμην, ὅ φασιν, ἐξ ἀπαλῶν ὀνύχων,
τὴν γνῶσιν σχεῖν πειρώμενος πάντων καὶ τῶν τυχόντων,
ὡς μὴ καταβαπτίζεσθαι βυθῷ τῆς ἀγνωσίας.
Ὡς δέ τις μεγαλέμπορος θέλων πολλὰ κερδῆσαι,
δεινοῦ παντὸς ὑπερορᾷ, κατατολμᾷ θαλάσσης,
καὶ τὰ φρικτὰ καταφρονεῖ χάσματα τῶν κυμάτων,
καὶ πορρωτάτω στέλλεται πάντως ῥιψοκινδύνως·
οὕτως εἰς πλάτος ἐμαυτὸν ἀφῆκα τὸ τοῦ λόγου,
κἀκεῖθεν ὅλον φορυτὸν χρυσίου καὶ μαργάρων,
καὶ θησαυρὸν πολύολβον ἐπλούτησα τὴν γνῶσιν,
πολὺν ἐμπορευσάμενος ταύτην τὴν ἐμπορίαν.
Οὕτω τὰ πάντα διελθών, οὕτως ἀποπειράσας,
τοῦτο πρὸ πάντων ἄπιστον εἶχον καὶ φλυαρίαν,
τοῦτο ψευδὲς ἐνόμιζον, ὅλως οὐκ ἐδεχόμην
τὸ λέγουσιν οἱ χωρικοὶ καὶ ὁ λόγος ὁ δημώδης,
« ὅταν ὁ κόραξ πούποτε καθίσῃ καὶ φωνάξῃ,

TITRE. J'ai suppléé καθ'ὅν. Entre ἔγραψε et κατεσχέθη il y a quelque chose d'illisible, ainsi qu'après χαιρεκάκου τινός.
VERS SIXIÈME. πειρόμενος. — 10. φρυκτά. — 13. φορητόν.

ἐκεῖ σημαίνει θάνατον καὶ χωρισμὸν ἀθρόον. »
Πόθεν καὶ γὰρ τοῖς κόραξιν ἀπεκληρώθη χάρις
μηνύουσι τὰ μέλλοντα καὶ προγινώσκειν τόσον, (F. 21 *b*.)
ὥστε προλέγειν θάνατον καὶ χωρισμοὺς ἀνθρώπων;
Ἐδόκει γοῦν μοι γέλοιον καὶ ματαιολογία,
ἀλλὰ κατέλαβε καιρός, ἀλλὰ παρέστη χρόνος,
ἐν οἷς ἰδὼν πεπίστευκα καὶ καρτερῶ πιστεύειν·
χρυσοῦς ἐκεῖνος ὁ εἰπών, ὄντως σοφίας πλήρης·
« ὅσον γηράσκεις μάνθανε καὶ σεαυτὸν ταπείνου ! »
Ἰδοὺ καὶ μαθητεύομαι καὶ κλίνω τὸν αὐχένα,
καὶ παρ' αὐτῆς διδάσκομαι σαφέστατα τῆς πείρας
τὸ μαντικὸν τοῦ κόρακος καὶ τὰς λοιπὰς δυνάμεις,
ἃς ἐπιφέρειν εἴωθε μετὰ πολλοῦ τοῦ τάχους,
καθίσας ὁπουδήποτε καὶ παρ' ἐλπίδα κράξας·
γονεῖς ἀτέκνους καθιστᾷ, τέκνα χωρὶς γονέων,
ἐκ τῆς ἀγκάλης τῆς μητρὸς τὸ βρέφος ἁφαρπάζει,
τὸ βρέφος ἀπεστέρησε μητέρος θηλαζούσης.
πολλάκις δὲ καὶ σὺν αὐτῷ τῷ βρέφει τὴν μητέρα
ἐλέους ἄνευ ἀνασπᾷ καὶ κατασπᾷ πρὸς ᾅδην·
φίλους, γνωρίμους, συγγενεῖς, πάντας, μικρούς, μεγάλους,
χωρίζει καὶ διίστησιν ἀθρόον ἀπ' ἀλλήλων
ὁ κόραξ ὁ κακόφημος, ὁ κήρυξ τοῦ θανάτου·
ἐγγύς που τὸ παράδειγμα καὶ ὁ μάρτυς ἀφ' ἑστίας·
ἐπὶ προδήλοις πράγμασιν οὐ χρεία τῶν μαρτύρων,
ἀφ' ὧν ἡμεῖς ἐπάθομεν, ἐμάθομεν ἀρκούντως.
Πρότριτα γὰρ τοῦ κόρακος ἐπάνω μου τῆς στέγης
ἐπὶ κακῷ καθίσαντος καὶ κράζειν ἀρξαμένου,
καὶ λέγειν ὅλως ἄναρθρα καὶ παρακεκομμένα·
φοβεῖσθαι μὲν οὐκ ἤθελον, ὡς φθάσας εἶπον ἄνω,
πλὴν ἀλλ' ὁ λόγος ὁ κοινὸς καὶ ἡ φήμη τῶν ἀνθρώπων,
ὁκάτι ὡς ἠκροεξύσπαζε καὶ συνετάρασσέ με·
τρόμος λοιπὸν κατέλαβε καὶ φόβος τὴν ψυχήν μου.

21. Wagner conjecture χωρισμὸν ἀνθρώπων. Mais voyez vers 24 et vers 41. — 25. γέλειον. — 51. ὁκάτη. ἠκροεξήσπαζε.

[καὶ] τὴν καρδίαν μου παλμός, καὶ κλόνος μου τὰ μέλη,
ἐφανταζόμην, ἔπασχον, ἔτρεμον, ἐφοβούμην,
ἐδειλαινόμην ἄμετρα, πολλὰ συνεστελλόμην,
τέρας ἰδεῖν δυσάντητον δοκῶν ἀπροσδοκήτως,
τὸ « δέσποτα φιλάνθρωπε, τοῦ κόσμου σου προστάτα,
τοῦτον τὸν φόβον εἰς καλὸν ποίησον ἀποβῆναι,
καὶ τέλος δοῦναι μοι χρηστόν », λέγων οὐκ ἐπαυόμην·
καὶ ἰδὲ τὸ ποῦ κατήντησαν ἐκεῖνα τὰ σημεῖα,
καὶ τέλος οἷον ἔφερεν ἐμοὶ τῷ ταλαιπώρῳ
ὁ βοασμὸς τοῦ κόρακος τοῦ βαρυφωνοτάτου.
Ἄγγελος γὰρ καταπεμφθεὶς ὕψωθεν τοῦ κυρίου,
ἀφήρπαξέ με τῶν ἐμῶν, ἐστέρησε τοῦ βίου,
καὶ ζῶντα μὲ κατήντησεν εἰς ᾅδην παρ' ἐλπίδα,
πάσης προφάσεως ἐκτός, ὅλως ἀνερωτήτως,
καὶ κολασταῖς παρέδωκε καὶ σκότει καὶ ταρτάρῳ,
θέμενος πάντα παρ' οὐδέν, πάντων καταφρονήσας,
τοῦ λόγου, τῆς νεότητος αὐτῆς τῆς ἡλικίας.
Ἀλλ' ὦ βασκάνου δαίμονος, ὦ πονηροῦ τελχῖνος,
ὦ μνησικάκου γείτονος, ὦ γλώσσης ψευδηγόρου,
ἥτις ἐλάλησε κακῶς σήμερον ἀδικίαν,
ἥτις ἀπεπωμάτισε τὸν τῆς ἐλπίδος πίθον,
ἥτις ἡμῖν ἐκέρασε τοῦ πόνου τὴν τρυγίαν,
καὶ κυκεῶνα θλίψεων καὶ συμφορῶν κρατῆρα,
ἥτις εἰς γῆν κατέαξε τὰ διαβήματά μου,
λόγους ψευδεῖς συνέρραψε καὶ δόλῳ μεμιγμένους.
Ἄρτι κἀγὼ συντίθεμαι τοῖς γνωματευομένοις,
συμφέρει χρόνος ὁ κακὸς καὶ κρεῖττων ἔνι πάντως
τοῦ γείτονος τοῦ πονηροῦ καὶ τοῦ συκοφαντοῦντος·
τοῦ χρόνου γὰρ κατὰ μικρὸν συμπεριφερομένου,
συμφέρονται καὶ τὰ δεινὰ καὶ ῥέουσι τῷ χρόνῳ,

53. Tout ce que j'ai mis entre crochets est un essai de restitution des mots effacés dans le manuscrit. — 62. βαρυφονοτάτου et un ω au-dessus du premier ο. — 71. γείτωνος. — 79. κρείττον et un ω sur l'ο. — 80. γείτωνος.

ὁ γείτων δὲ παράμονος τοῖς γειτονοῦσι σκόλοψ,
συκοφαντῶν, δολορραφῶν, μοχλεύων, ἐνεδρεύων,
πόστας ἱστῶν ἀσυμφανῶς καὶ βρόχους ἐξορύσσων.
Ἀλλ' ἐρωτᾷς τὸν θάνατον, βούλει μαθεῖν τὸν ᾅδην;
ᾅδην καλῶ τὰ Νούμερα, τὰ χείρω καὶ τοῦ ᾅδου,
ὅσον καὶ γὰρ εἰς κάκωσιν νικῶσι καὶ τὸν ᾅδην.
Ἐκεῖ γάρ, ὡς ἀκούομεν, ἀλλήλους θεωροῦσι,
καὶ τοῦτο παρηγόρημα μέγα τοῖς θλιβομένοις·
ἐν τούτῳ δὲ τῷ ζοφερῷ καὶ βαθυτάτῳ λάκκῳ,
οὐ φῶς παρὰ τοῖς ὄμμασιν, οὐδέ τις ὁμιλία,
τὸ συνεχὲς γὰρ τοῦ καπνοῦ, τοῦ σκότους ἡ παχύτης,
ἀλλήλους οὐ παραχωρεῖ βλέπειν οὐδὲ γνωρίζειν·
ἐκεῖ πεντηκονθήμερος καιρὸς ἐλευθερίας
κατ' ἔτος ἅπαν δίδοται τοῖς ἀποδικασμένοις·
ἐνταῦθα δὲ διηνεκὴς ἡ κάθειρξις τυγχάνει,
ὁ γόος ὧδε μόνιμος, ἀένναος ὁ θρῆνος,
ὁ τῶν δακρύων ὀχετὸς οὐ λήγει καταρρέων·
θλίβει μικρὸν ὁ θάνατος, ἅπαξ ἡμᾶς πικραίνει,
ἡ φυλακὴ δὲ πάντοτε κέκτηται τὴν πικρίαν·
ὁ τέλει γὰρ χρησάμενος τοῦ βίου κατὰ φύσιν,
καὶ λειτουργήσας τῶν χρεῶν, ἢ μεταστὰς τῶν ὧδε, (F. 22 *a*.)
ἐκεῖνος ἅπαξ ἔθανεν, ἐτάφη καὶ παρῆλθε,
ἐν λήθῃ πάντων γέγονε τῶν ὄντων ἐν τῷ κόσμῳ,
φίλων, γνωρίμων, συγγενῶν, γονέων καὶ συζύγου·
οὐκέτι τούτων ἕνεκεν δάκνεται τὴν καρδίαν,
πάντων ἐπιλαθόμενος ὧν εἶχεν ἐν τῷ βίῳ·
ὁ δὲ βληθεὶς ἐν φυλακῇ πλήρει καπνοῦ καὶ σκότους,
ἔχει τοὺς πόνους μετ' αὐτοῦ πάντοτε συνοικοῦντας·
ὁσάκις ἀναπνεύσειε λυπεῖται τοσαυτάκις,
ἀναστενάζει, θλίβεται, κόπτεται, δαπανᾶται,

83. γειτωνοῦσι. — 96. La fin du vers est difficile à lire. Je crois cependant que, avec ce qui reste des lettres, on peut supposer ἀποδικασμένοις. — 98. De ὁ θρῆνος, il n'y a plus que νος de lisible. — 104. ἐτά.... — 107. οὐκ ἔτι. — 109. πλήρη.

ἐπὶ θανάτῳ θάνατον δέχεται καθ' ἑκάστην,
ὅτι καὶ ζῇ καὶ μέμνηται καὶ τῶν αὐτοῦ στερεῖται.
Ἀκοῦτε τα καὶ οὐ θλίβεσθε, λαλῶ σας καὶ οὐ λυπεῖσθε·
λόγος, ἀλήθεια, φέρεται δημοτικὸς ἀρχαῖος·
« ὁποῦ ἔχει ἀμέριμνον ψυχήν, ὁποῦ ἕνι χορτασμένος,
ποτὲ οὐ πιστεύει νηστικόν, ποτὲ οὐ ψυχοπονᾶται. »
Ἐσὺ ἂν ἱστήκῃς εἰς βουνὶν καὶ ἀπὸ μακρὰ ἐντρανίζῃς,
καὶ βλέπῃς ἄλλον κείμενον ἀπέσω εἰς τὸ καμίνιν,
οὐκ εἶδες, οὐκ ἐνόησες, οὐκ ἔγνως τὴν πικρίαν·
ἐκεῖνος τηγανίζεται, καὶ σὺ κἀμψίχα οὐ γνώθεις.
Ἂν ἴδῃς εἰς τὸ πέλαγος καράβιν κινδυνεῦον,
ἐσὺ γελᾷς ἀπὸ μακρά, κ' ἐκεῖ μεγάλη τζίκνα·
ἐσὺ λέγεις ἀϊλλοίμονον, κ' ἐκεῖ θεωροῦν ἀγγέλους·
ὁ βλέπων φῶς ἐλεύθερον, ὁ τρέχων εἰς τὸν κόσμον,
οὐκ ἔχει φόβον πενθερᾶς, ἀμέριμνος κοιμᾶται;
ἂν οὐ πιασθῇ καὶ δαμασθῇ, ψυχὴν ἂν οὐ πονέσῃ,
ὡς ὄρνεον πελάζεται, δοκοῦν τον ὅλα ὁμάλιν,
τῆς φυλακῆς ἡ κάκωσις, ἡ τζίκνα, τὸ καρβούνιν,
ἐγὼ τὸ ἐξεύρω μοναχός, ἐμέναν καίει μόνον,
μόνος ἐγὼ δαμάζομαι κ' ἐγὼ τὴν πεῖραν ἔχω.
Εἴ τις ἂν λέγῃ· « ψεύδεται, φλυαρεῖ, μὴ τὸν πιστεύῃς! »
κἀνεὶς ποτὲ οὐκ ἐπόνεσεν, οὐκ οἶδε τί ἕνι ὁ πόνος,
ὁποῦ πονέσῃ κεφαλὴν καὶ ὁποῦ πονέσῃ πτέρναν
ἐπίσης ἀναγκάζονται κ' ἐπίσης ὀδυνῶνται·
ἐκείνους ὁποῦ ἐπόνεσαν ἐρώτα, καὶ νὰ μάθῃς.
Ἡ φυλακὴ καὶ θάνατος, καὶ χεῖρων τοῦ θανάτου,
ἡ φυλακὴ καὶ κάμινος, καὶ χεῖρων τῆς καμίνου·
[αὐτὴν] ἂν εἴπῃς κόλασιν, παχυμερῶς κολάζει,
παχυμερῶς στενοχωρεῖ, καὶ θλίβει καὶ δαμάζει,

115. ἀκούετε (corr. Wagner). — 117. ἀμέρημνον. — 119. ἱστήκεις. βουννὶν. — 120. βλέπεις. — 122. κἀμψύχα. γνώθης. — 124. καί. τζύκνα. — 125. αἰλλήμονον. καί. Devant le son s, αι, je fais l'élision de καί, qui, du reste, n'est pas toujours écrit en toutes lettres dans le ms. d'où ce poëme est tiré. — 128. ψυχὴν ἐάν. — 132. καί. — 135. πονέσει. πονέσει.

ἡ θλῖψις δὲ τῆς φυλακῆς, ἡ μέριμνα, ἡ ἀνάγκη,
πολυμερής, πολύτροπος, πολυειδής, ποικίλη·
καθ' ὥραν φθάνει ὁ θάνατος, καθ' ὥραν ἀποθνήσκεις,
χωρὶς θαλάσσης πνίγεσαι, χωρὶς πυρὸς ἐξάπτεις,
μέλη καὶ μέλη τέμνεσαι καὶ δίχα μαχαιρίου,
οὐκ ἔναι πόνος πούποτε νὰ μὴ σὲ κατακρούσῃ·
φύλλον θροεῖ σε ἂν σαλευθῇ, πουλὶν ἂν ἴδῃς τρέμεις,
ἂν γένῃ κτύπος ποῦποτε, μόδιν ἀγγέλους βλέπεις,
φοβεῖσαι μὴ ἔλθῃ μήνυμα τὸ οὐκ ἤθελες ν' ἀκούσῃς,
ἀδημονεῖς, ἐννοιάζεσαι, συντρίβεσαι, τρομάσσεις,
βλέπεις ἡμέραν, θλίβεσαι, φοβεῖσαι ὡς οὐ [πρέπει].
Πάλιν τὴν νύκτα δειλιᾷς, τὸ τί νὰ φέρῃ οὐκ οἴδες,
στενοχωρεῖσαι, ἀγανακτεῖς, ἐδῶ κ' ἐκεῖ προσ[κρούεις],
ὡς ἐννοιασμένον περπατεῖς καὶ ὡσὰν ἐνταλωμένον,
τόπον ἐκ τόπου μεριμνᾷς καὶ τόπος οὐ χωρεῖ σε·
λειποθυμεῖς, σκοτίζεσαι, κοντοανασαίνεις, πίπτεις,
κεῖται τὸ σῶμα σου νεκρόν, ἄψυχον τὴν τελείαν,
ὀψὲ καὶ μόλις γρηγορεῖς, μόλις ἐπαναφέρεις·
τὴν γῆν δαγκάνεις, εὔχεσαι, παρακαλεῖς καὶ λέγεις·
« Χριστέ μου, δὸς ἀνάπαυσιν, Χριστέ μου, φέρε ὑπνίτζιν,
Χριστέ, παραμυθῆσον με, Χριστέ, ἀποκοίμισέ με,
νὰ παύσουν αἱ ὀδύναι μου, νὰ χαλαρώσῃ ὁ πόνος! »
Καὶ . . . . ὡς οὐκ ἤθελες, ἡ εὐχή . . . . . .
ἠρέμησες, ἠκόμπησες, ἔπεσες, κατεκλίθης,
ἀπῆρες ὕπνον ὀλιγόν, ἐκάμμυσες ὡρίτζαν,
καὶ κἂν ἂς τὸν ἐκέρδισες, καὶ κἂν ἂς τὸν ἐχάρης,
ἂς εἶδες κἂν ἐνύπνιον γλυκὺν κατὰ τὸν ὕπνον!
ἀμμὴ δεσμὰ καὶ βάσανα καὶ φυλακὰς καὶ πύργους,
Βαράγγους ἀλαλάζοντας, καὶ ὁ φόβος ἐξυπνᾷ σε·
μορόϋπνον ἐγείρεσθαι περιπατεῖς χαωμένον,

144. ἀποθνήσκης. — 145. ἐξάπτης. — 150. φοβεῖσε. νὰ ἀκούσεις. — 151. ἐνοιάσεσαι. τρομάσεις. — 152. πρέπει, rest. de Wagner. — 154. στενοχωρῆσαι. — 155. περιπατεῖς. — 157. λυποθυμεῖς. — 163. ὠδύναι. χαλεπώση. — 166. ἐκάμυσες. — 169. ἀμή. — 171. ἐγύρεσθαι.

φοβερισμένος, ἔντρομος, καὶ ὡσὰν ἐξυσπασμένος·
ἔτη τ. . . . . θεωρεῖς ἐκείνους τοὺς ἀγρίους,
ὁρμῶντας οὕτω κατὰ σοῦ, δάκνοντας, ὑλακτοῦντας,
αἳ πόνος ὁ ἡμερινός, αἳ τζίκνα τῆς ἑσπέρας,
αἳ μεσονύκτου θάνατος, αἳ τῆς αὐγῆς καρδούνιν!
πόσα πανθάνω[ἀγνοῶ,] πῶς [εἰς ᾅδην] οὐ φθάνω;
πῶς ἀκομὴ ψυχοκρατῶ καὶ πῶς οὐ παραδίδω;
καὶ τοῦτο εἰς καταδίκην μου πάντως περισσοτέραν.
Αἳ αἳ, ψυχὴ πολύπονε, πολυσυμφορωτάτη,
πῶς ἀπαντᾷς παράδοξον, πῶς οὐκ ἐρράγης ξένον. (F. 22 *b*.)
Οἱ πόνοι ὁποῦ σὲ εἰσέβησαν ποῦ τοὺς χωρεῖς εἰπέ μοι·
κουκκὶν κουκκὶν ἂν σωρευθῇ τὸν μόδιν νὰ γεμίσῃ,
καὶ σύ, ψυχή μου, βέβαιον ἀκόμη οὐκ ἐγεμίσθης·
τὸ ποῦ καὶ πῶς οἱ πόνοι σου χωνεύονται θαυμάζω.
Οἱ πόνοι ἐξηναισχύντησαν εἰς τούτας τὰς ἡμέρας,
ἂν εὕρουν εἰς κατώφορον ψυχὴν ἀναγκασμένην,
ἐκεῖ περισυνάγονται καὶ πολεμοῦν τὴν πνῖξιν.
Ψυχή, περισωρεύθησαι, καί, ὡς ἠπορεῖς, ἀπάντα·
οἱ πόνοι ἀψὰ σὲ εἰσέβησαν, κ' ἐκατεσκούρωσάν σε,
καὶ οὐκ ἔχουν ἄλλο ἐνθύμησιν, ὡς βλέπω, νὰ σὲ ἀφήσουν·
τοῦ πόνου τὸ ἀνώφορον ἤρξου, ψυχή, ἀναβαίνειν,
καί, ὡς ἔνι κακοανάβατον, μὴ ἀποσταθῇς φοβοῦμαι·
ψυχή μου, βλέπω, ἠτόνησες, καὶ ὁ πόνος ἐπιβαίνει,
καὶ ὁκάτι δειλιάζω σε, φοβοῦμαι οὐ μὴ ἀπαντήσῃς·
ψυχή μου κακοτύχερε, μίαν ἐχάρης ὥραν,
καὶ λύπη διεδέξατο ἄπαυστος τὴν χαράν σου·
ψυχή μου κακορρίζικε, μίαν ἐφάνης ὥραν,
καὶ ὡσεὶ σκιὰ διέβηκες, ἐχάθης, ἐκρυβήθης·
ψυχή μου, ὡς ἄστρον ἔλαμψες, ἀνέτειλες ὡς φέγγος,
καὶ νέφος ἀπροσδόκητον ἦλθεν, ἐκάλυψέ σε.
Ψυχή μου, ὁποῦ σὲ βλέπουσιν κἂν ψίχα ὅτι ἀναπνέεις,.....

177. Restitué par Wagner. — 180. αἳ, une seule fois. — 183. ἐάν. — 186. ἐξηνεσχύντησαν. — 189. περισωρεύθησε. ὑπορεῖς. — 198. κακορίζικε. — 202. ψύχα. Il y a, ce semble, une lacune après ce vers.

παρὰ καιρὸν ἐγήρασεν, ἐψύγην, ἐμαράνθην.
Ἐδάρτε, μάθε γράμματα καὶ θάρρει νὰ προκόψῃς·
θάρρει νὰ εὕρῃς τὴν τύχην σου καὶ νὰ χαρῇς εἰς κόσμον,
πρὶν τὴν εὑρῇς, ἐχάσες την· πρὶν τὴν ἰδῇς, ὑπάγει·
ἀφῆκε σε μνημόσυνον πάντοτε νὰ σὲ θλίβῃ.
Πολλὰ τὸν ἔχω εὐκαιρητὴν ἐκεῖνον τὸν γονέαν,
ὁποῦ διδάξῃ γράμματα ποτέ του τὸ παιδίν του·
ἔχεις, ἥλιέ μου! παιδίν, ἀγούριν, παλληκάριν,
βάλε σχοινὶν καὶ πνίξε το, καὶ μὴ τὸ γραμματίσῃς·
ἅπαξ τὸν πόνον ἔπαρε καὶ ἀπομερίμνησέ το,
μὴ τὸ θεωρῇς καὶ θλίβεσαι πάσας σου τὰς ἡμέρας.
Τὰ γράμματα τιμὴν ἔχουν, ἀλήθεια, μεγάλην,
ἀλλ' ὡς ἐκατεστάθησαν ἐπὶ τῶν ἡμερῶν μας,
ὁ θεὸς ἐλευθερώσῃ σε, καὶ ἂς ἦσαι ψωμοζήτης.
Ποτὲ μὴ ἐλπίζῃς προκοπήν, ποτὲ οὐκ ἐπανακάμψεις·
ἀφ'οὗ χλωριάνῃς καὶ ψυγῇς, πότε νὰ φέρῃς ὄψιν;
ἀφ'οὗ κλιθῇς καὶ μαρανθῇς, πότε νὰ ἐξαναθάλῃς;
ἀφ'οὗ γηράσῃς καὶ σαπῇς, πότε νὰ γένῃς νέος;
ἀφ'οὗ ἀποθάνῃς καὶ σαπῇς, πότε νὰ ἐξαναζήσῃς;
Ὁ γέρων νεὸς οὐ γίνεται, κἀνεὶς μὴ σὲ κομπόνῃ·
τὸ δένδρον τὸ νεόφυτον, τὸ θάλλον καὶ καρπεῦον,
ἀφ'οὗ ψυγῇ παρὰ καιρόν, ἀφ'οὗ φυλλορροήσῃ,
ὅσα καὶ ἂν τὸ ποτίζουσιν, ἄλλο ποτὲ οὐ βλαστήσει.
Πουλὶν ἂν βάλῃς εἰς κλουβίν, καὶ ποιήσῃ τρεῖς ἡμέρας,
ἐκεῖ νεφροκουράζεται καὶ οὐ δύναται πετάσσειν·
ὥραν ἂν ποιήσῃς εἰς λουτρόν, ὀλιγωρεῖς αὐτίκα,
γοργὸν ἂν σὲ οὐκ ἐκβάλουσιν, ἐκεῖ νὰ ἐξεψυχήσῃς.
Καὶ ποῦ λουτρὸν βαρύτερον καὶ ποῦ λειποψυχία;
οἶδεν ἐκεῖνος ὁ παθών, οἶδεν ὁ θρύβας μόνος.
Ἡμέρας τρεῖς ὁ Ἰωνᾶς κατείχετο τῷ κήτει,

208. εὐκαιριτὴν, corr. Wagner. — 209. διδάξει. — 210. παλικάριν. — 211. σχοινήν. — 212. ἔπαραι. ἀπομερίμνησαι. — 213. θεωρεῖς. — 216. ἐλευθερώσει. — 218. χλωριάνεις. — 222. κομπώνῃ. — 224. φυλλορροήσει. — 226. βάλεις. ποιήσει. — 227. πετάσειν. — 230. λυποψυχία.

καὶ φέρειν μὴ δυνάμενος ἐφώναζε βαρέως·
« ἀπέρριψάς με, δέσποτα, πάλιν ἀνάγαγέ με,
ἐκύκλωσάν με ποταμοί, παύθητι τῆς ὀργῆς σου·
ἐπάκουσόν μου, πρόφθασον, χαόνεις τὸν Ἰωνᾶν σου! »
Οὕτω δεινὸν ἡ φυλακὴ καὶ τὸ μὴ βλέπειν κόσμον,
ὡς ἐξοχλεῖν καὶ τὸν θεὸν ἀπὸ στενοχωρίας·
κακὸς ἐχθρὸς ἡ φυλακὴ ποτὲ πιστὰ οὐ φυλάττει,
μεσίτην οὐ προσδέχεται, φίλον τινὰ οὐκ ἔχει,
μακάρι μὴ κουρσίζεται μετὰ δισσὰ ματίτζια·
ὡς ἐκεῖ παίζει μετ' ἐσέν, ὡς ἐκεῖ μετριάζει,
ὡς οὔ νὰ ἐμβῇς εἰς κάρτζουκον, καὶ ὡς οὔ νὰ ἐμπλάκῃς·
καὶ τότε λέγει αὐτοῦ θέλεις, οὐδὲ οἶδα οὐδὲ νὰ ἐγνωρίζω,
ἔσω σὲ ἔχω, κόσσυφε, δωρεὰς καὶ σπαρταρίζεις.
Ἂν θέλῃς καταράσεσθαι τινὰν ἐκ τοὺς ἐχθρούς σου,
κατάρας ἄφες τὰς πολλὰς καὶ τοῦτο λέγε μόνον·
« εἰς φυλακὴν ἀποκλεισθῇς, εἰς σίδηρα βαρέα,
εἰς χέρια ἐγκρούσῃς στοματᾶ, μωροῦ καπικλαρίου! »
Καὶ τί κρουνοὺς τοῖς δάκρυσι μιγνύομεν δακρύων,
καὶ στεναγμοὺς ταῖς οἰμωγαῖς, καὶ πένθος ἐπὶ πένθει;
ὅσα καὶ ἂν λέγῃς ὁ πονῶν, καὶ κρούῃς καὶ λαμβάνῃς,
πάντα δοκοῦσιν ὄνειρος εἰς ἄθλιδον καρδίαν.
Οὐδὲν ἀκούεις, οὐρανέ· καὶ τί κωφὸς ἐγένου;
οὐκ ἔμαθες τὰ ἡμέτερα, καὶ πῶς ἀπεκοιμήθης;
πῶς οὐ πλαντᾷς παράδοξον, πῶς οὐ χαλᾷς καὶ πίπτεις;
πῶς ὑπομένεις ἀπορῶ ταύτην τὴν ἀδικίαν.
Ὁκάποτε εἰς τὸν δεῖπνον μας, ἐκείνας τὰς ἡμέρας,
παρὰ διαβόλου ἐπήδησεν ἐκ τὸ λυχνάριν τζίον,
καὶ τώρα βλέπω ἐμπυρισμόν, ἐκάησαν τὰ πάντα·
ποτὲ καιροῦ ἐχασμήσετον ὁκάτις κατὰ τύχην,
καὶ τώρα ἐποῖκε τὸν σταυρόν, καὶ τώρ' ἀπεσφραγίσθη·
ἀπεσκεπάσθη πρόπερσι, κ' ἐφέτο ἐρρεμματίσθη·

234. καὶ πάλιν. — 236. χαώνεις. — 245. κόσυφε. σπαρταρίζης. — 246. θέλεις. — 249. καπηκλαρίου. — 252. λέγεις. λαμβάνεις. — 261. ὁκάτης. — 262. τώρα. — 263. πρόπερσυ. ἐφέτω ἐρεματίσθη.

πῖνε γρουτίτζαν, λέγουν τον, μυρίζου λαδανίτζιν,
καὶ διαβῇ ὁ ρεμματισμὸς καὶ πάλιν νὰ ἐπανέλθῃς.
Ὁκάτις πάλιν ἔτρωγε καθ' ὕπνου του πεπόνιν,
ἐξύπνισε, καὶ λέγουν τον· « σφογγίσου ἐκ τὸ πεπόνιν,
κρύον οἰνάριν βόφησε μὴ κρυώσῃς καὶ πυρέξῃς. » (F. 23 *a*.)
Ἔδε κριταὶ καὶ δίκαια, καὶ νόμοι καὶ κανόνες·
ἡ παπαδιὰ παρέπεσεν, ἐξύβρισε τὴν κοίτην,
καὶ καθαιροῦσι τὸν παπᾶν. αἲ συμφορὰ μεγάλη!
Ἐκείνη παρηνόμησε, καὶ τοῦτον τιμωροῦσιν·
οὐκ ἔνι τοῦτο πλανταμός, οὐκ ἔν' μελαγχολία;
Ἐλάκτισεν ὁ γάϊδαρος, καὶ δέρουσι τὸ σάγμα,
νὰ γίνῃ καλοπαίδευτον, ἄλλο νὰ μὴ λακτίσῃ.
Ἡ θάλασσα ζαλίζεται, βρυχᾶται, κυματίζει,
καὶ τὸν περάτην τὸν πτωχὸν ὡς πταίστην ἀνατάσσουν.
Ἄρτι καὶ νόμος ἀπρακτεῖ τελείως ὁ κελεύων
ἃ παρ' ἑτέρων γίνονται μὴ καταβλάπτειν ἄλλους·
καὶ τί ὠφελοῦν τὰ περισσὰ τὰ τοῦτα καὶ τὰ ἐκεῖνα,
ἐδῶ τὸ δός, ἐκεῖ τὸ δός, παρέκει οὐκ ἔλαθέ μας;
Ὁποῦ τὸν φοῦρνον ἔκτισε, πάλε ἂς τὸν χαλάσῃ,
ἂς μείνῃ ὁ τόπος ἔρημος, ἂς γένῃ ὡς ἦτον πρῶτον·
ἀλλ' ὃ παρέκει οὐ δύναμαι κρατῶ καὶ οὐχ ὑπομένω·
βλέπεις, ἀπῆρε με ἡ χολή, τὸ τί λαλῶ οὐκ ἐξεύρω,
ἔβρασεν ἡ καρδία μου, παρέκει οὐδὲν βαστάζω
νὰ δώσω εἰς πέτραν καὶ λυθῶ, νὰ ποίσω θέαμα μέγα,
ἀπὸ στενοχωρίας μου νὰ πνίξω τὸν ἑαυτόν μου,
παντὶ νὰ γένῃ ἐξάκουστον, ὁ κόσμος νὰ θαυμάσῃ·
ναί, νὰ τὸ ποιήσω οὐ μέλει με, πολλὰ παρεπονήθην·
ἐγὼ ψηφίζω θάνατον, χρεωστῶ καὶ νὰ τὸν δώσω.
Ἦλθον εἰς κόσμον σήμερον, σήμερον ὑπαγαίνω·
ἔδε καὶ τί χολομανῶ καὶ τί βαρεὰ στριγγίζω,

265. ρεματισμός. — 266. Peut-être ὕπνον, ou ὕπνους. — 268. μὴ κρυώ est effacé dans le manuscrit. — 270. ἐξύβρυσε. — 274. γάηδαρος. δαίρουσι. — 275. γίνει. — 277. ἀνατάσσουν. — 280. ὀφελοῦν. — 282. φούρνουν. πάλαι. χαλάσει. — 283. εἶτον. — 289. γένει. θαυμάσει.

καὶ λέγω τὰ οὐκ ἐνδέχονται καὶ τὰ μὲ οὐδὲν ἁρμόζουν;
Εἰς ἀστρικὸν καταπλοκῆς, εἰς ὥραν ἀδικίας,
ἡ μάννα μου μ' ἐγέννησε, δωρεὰν καὶ πεισματίζω,
μάτην, ψυχή μου, ἀδημονεῖς, μάτην περιστατεῖσαι·
ἐκεῖνο τὸ σὲ ἀπόκειται καὶ τὸ σὲ περιμένει,
εἰς τὸ ἐκ παντὸς θέλει ἐλθεῖν, μὴ κρούσῃς καὶ λαμβάνῃς.
Ψυχή μου, παρακλήθητι μὴ σὲ νικήσῃ ὁ πόνος,
μὴ πάθῃς τί μικρόψυχον καὶ νὰ χαροῦν οἱ ἐχθροί σου·
οὐκ ἔλεγες, καρδία μου, οὐκ ἐκαυχοῦ, ψυχή μου,
οἷος ἂν ἔνι ὁ πειρασμός, θαρρῶ τὸν ἀπαντήσειν;
ὁκάτι τώρα βλέπω σε πολλὰ εἶσαι βαρεμένη,
πολλὰ σὲ κατεπόνεσε τῆς φυλακῆς ὁ πόνος·
ψυχή μου, ὡς ἀσυνήθιστος, μεγάλα δυσχεραίνεις,
αὐτοῦ ὅπου τὰ κατήφερες καὶ σὺ νὰ συνηθίσῃς·
ψυχή μου, μακροθύμησον, τὸν κόσμον ἔμαθές τον,
τὰς συστροφὰς οὐκ ἀγνοεῖς καὶ τὰς μεταβολάς του,
οὐκ ἔχει βέβαιον οὐδέν, οὐκ ἔχει οὐδὲν ἑδραῖον·
ὡς δύνασαι, καρτέρησον, ἔδε καὶ τί νὰ ποίσῃς,
θέλεις οὐ θέλεις ἔκδεξαι, παίζει κ' ἐσὲν ἡ τύχη,
χάριν αὐτοῦ μὴ θλίβεσαι, μηδὲ συχνοστενάζῃς,
ἡ ζάλη τούτη νὰ διαβῇ, πάλιν νὰ ἐλθῇ γαλήνη·
ὁ λόγος οὗτος οὐκ ἐμός, προφητικὸν τὸ ῥῆμα,
ἐσπέρας αὐλισθήσεται κλαυθμός, οὐαί, καὶ θρῆνος,
καὶ θυμηδίας ἥλιος λάμψει κατὰ τὴν ἕω.
Μὴ τὰ παρόντα καθορᾷς, ἀλλὰ τὸ μέλλον σκέπτου·
ἡ πεῖρα διδασκέτω σε τὰς φύσεις τῶν πραγμάτων,
ὅπου χειμὼν καὶ νιφετός, ἐκεῖ καὶ θέρος πάντως,
ὅπου βαγδαΐος ὑετός, ἐκεῖ κομῶντες στάχεις,
ἐκεῖ πληροῖ τὴν δεξιὰν δραγμάτων ὁ θερίζων·
ὅπου δακρύων ὀχετοὶ καὶ συμφορῶν νιφάδες,
ἐκεῖ βαθεῖαν ἴδῃ τις λάμψασαν εὐφροσύνην,

296. μάνα. με. — 297. περιστατῆσε. — 299. ἐλθεῖν θέλει. κρούσις. — 303. ἐάν. J'aime mieux écrire ἂν que de compter οἷος pour une seule syllabe. — 304. ἦσαι. — 311. ποίσεις. — 314. διαξῇ.

ὁ σπείρων γὰρ ἐν δάκρυσι μεθ' ἡδονῆς θερίζει·
ὅπου δεσμὰ καὶ κάκωσις καὶ νέφος ἀθυμίας,
ἐκεῖ χαρὰ καὶ ἄνεσις καὶ θυμηδίας ἔαρ.
Κυβέρνησε τὰ πράγματα, μὴ ἀποκαραδοκήσῃς·
ἀφ' ὅτου φθάσῃ ὁ πειρασμός, τὸ πόθεν μὴ γυρεύῃς,
μὴ ψηλαφᾷς τὸν αἴτιον, μὴ λέγῃς; « πόθεν ἦλθεν! »
ἀνακομπώσου, δέξου τον, καί, ὡς δύνῃ, δούλευσέ τον·
μὴ θροηθῇς, μὴ σαλευθῇς, μὴ νικηθῇς, μὴ ἐνδώσῃς,
μὴ κάμψῃς γόνυ μηδαμῶς, μὴ χλευασθῇς κατά τι,
μὴ τὸ τυχὸν περιτραπῇς, μὴ δ' ἐκλυπῇς τὰς ὥρας
ταῖς ἔξω καταστάσεσι καὶ ταῖς ἐπιφανείαις,
ὁ λύκος γὰρ ἐν τῇ δορᾷ κρύπτεται τοῦ προβάτου·
μὴ κλίνῃς ὅλως κεφαλήν, μὴ φοβηθῇς κατά τι,
παρεμβαλεῖ γὰρ ἄγγελος κύκλῳ σου τοῦ κυρίου,
ῥυόμενος ἐκ πειρασμῶν καὶ σῶον σὲ φυλάττων.
Μὴ δώσῃς ὅλως ἀφορμὴν τοῖς ἀφορμὴν ζητοῦσιν,
ἀποβαλοῦ τοὺς λογισμούς, ἀνδρίζου καὶ κρατύνου,
ἀπόκειταί σοι στέφανος, μηδόλως ἐκκακίσῃς·
ὁ ζῆλος . . . . . καὶ σὲ καταφαγέτω·
ἐκεῖνος πάσχων ἔφερε καὶ σὺ ποσῶς γογγύζεις·
ἀφ' οὗ [τὰ θέλεις] οὐ θεωρεῖς, τὰ βλέπεις καταδέχου,
καὶ πραγματεύου τὸν καιρόν, φέρου τῷ φέροντί σε.
Μὴ συκοφάντην πτοηθῇς, ἂν ἔχῃ δρακοντιάσειν,
ἂν ἔχῃ τὸ κοντάριν του φθάσειν εἰς τὸ Δυρράχιν,
τὸ ψεῦδος γὰρ κατὰ μικρὸν ἐλέγχεται τῷ χρόνῳ, (F. 23*b*.)
καθὰ χρυσὸς ἐλέγχεται τῇ λίθῳ τῇ λυδίᾳ·
πρὸς ὥραν ἔχει δύναμιν, πρὸς ὥραν φλαμμουλίζει,
ἡ προκοπὴ προσωρινή, πρὸς ὥραν ἡ χαρά του,
καὶ τότε ὡς χόρτος φθείρεται, ὡς ἄνθος τότε πίπτει,
ὡς ὄναρ διαλύεται καὶ τοῦ καπνοῦ ὑπαγαίνει,

328. ἀποκαραδοκίσης. — 322. πληρεῖ et οἳ au-dessus de la seconde syllabe. — 331. ἀνακομπόσου. δούλευσαι. — 345. Restit. par Wagner. — 346. La fin de ce vers est à peine lisible. — 351. φλαμουλίζει. — 352. προσορινή, et ω sur l'ο. — 353. ἄνθος καί.

γυρεύεις, οὐκ εὑρίσκεις τον, παρῆλθεν, ἠφανίσθην,
καὶ τάχιστα μετέπεσεν ὡς ὑπ' ἀνέμου κόνις,
διέβηκεν ὡς ἀστραπή, τὸν τόπον κρυὸν ἀφῆκεν·
ἂν ἔχῃ εἰς ὄρος ἀναβῆν, ὡς κέδρος ἀνυψῶσαι,
χαλάσειν ἔχει ὀψέποτε, κατακλιθῆν, καὶ πέσειν.
Παμμέγας ἦν ὁ Γολιάθ, ἐρρέμβετο μεγάλα,
καὶ χεὶρ αὐτὸν ἀπέκτεινε μικροῦ παιδισκαρίου.
Τὸ φροῦ καὶ φρᾶ μὴ σὲ πλανᾷ, ποτὲ μὴ σὲ κομπόνῃ.
τοῦτο τὸ ἀνάβα τὸ γοργὸν ἔχει καὶ ὀξὺν κατάβαν,
ἂν ἔχῃ εἰς τὰ ἐπιθάνατα νὰ τὸ εὕρῃ μὴ σὲ μέλῃ.
Καθεὶς κοιμᾶται ὡς ἔστρωσεν, ὡς ἔσπειρε θερίζει,
καθεὶς ὡς ἐμαγείρευσεν εὑρίσκει τὸ ἔμπροσθέν του·
τώρα προκόπτει, χαίρεται, καὶ σὺ τὸ χεῖλος κρούεις·
τὰ βόλια γυρισθῆν ἔχουν, ἄφες μὴ τὸν ζηλεύῃς,
ἡ ἄρκος παίζει μετ' ἐσέν, νὰ παίξῃ καὶ μετ' αὔτον·
κατὰ ὀργὴν τὸν ἐλαδᾶν ὁ θεὸς οὐκ ἀποδίδει·
ἄρα καὶ κότου τὸν καιρὸν ὅλον ὑστέρου μίαν·
ταῦτα τὰ βλέπεις νὰ διαβοῦν, ἔχει ὁ καιρὸς ἡμέρας
μιᾷ καταστραφήσεται καιροῦ ροπῇ καὶ ὥρᾳ·
κἂν ὑπὲρ κέδρους ὑψωθῇ καὶ κορυφὰς ὀρέων,
ἡ τύχη ἐκείνου σήμερον, αὔριον ἡ ἐδική σου,
ὁ βίος οὗτος ἄστατος ἀλλάσσεται καθ' ὥραν·
ἂν εὐτυχῇς, μὴ χαίρεσαι· καὶ ἂν δυστυχῇς, μὴ κλαίῃς,
ἐν ὅσῳ χαίρεις καὶ πλουτεῖς, ἦλθεν ἡ δυστυχία,
ἐν ὅσῳ κεῖσαι δυστυχῶν, ηὐτύχησες ἀθρόον,
ἄφες τὰ πάντα φέρεσθαι καθὼς ἐκεῖνα θέλουν.
Μὴ τὸ τυχὸν ἀντίτεινε καὶ βλάψῃς τὸν ἑαυτόν σου·
ἀλλ' ὅπερ εὐεργέτησας πολλὰς εὐεργεσίας.
μυρίοις ἄρτοις ἔθρεψας κατ' ἐντολὴν κυρίου,
ἐκεῖνος ἐμεγάλυνεν ἀρτίως πτερνισμόν σου,
ἐκεῖνος ἐψιθύρισε κρυφιωδῶς ὡς ὄφις,

357. ἀφίκεν. — 358. ἔχει. — 359. ἀναβεῖν. κατακλιθεῖν. — 362. κομπώνῃ. — 367. εὑρεῖ. μέλλει. — 368. βώλια. — 369. παίξει. — 371. Je ne comprends pas ce vers. — 377. εὐτυχεῖς. χαίρεσε. κλέεις. — 381. βλάψεις.

καὶ τὸν ἰὸν ἐξέχεε κατὰ τοῦ εὐεργέτου,
καὶ σὲ κακῶς διέθηκεν, ἐξ ὕψους ἔρριψέ σε,
καὶ συγγενῶν ἐστέρησεν, ἐξένωσε φιλτάτων,
ἐν σκοτεινοῖς ἐκάθισε γυμνόν, ἠπορημένον.
Ἔχεις τὸν ἐκδικοῦντα σε, σιώπα, μὴ βλασφήμει·
« ἐγὼ καὶ γάρ, ὁ κύριος φησίν, ἀνταποδώσω,
εἰ σὺ τοῖς ἀδικοῦσι σε μηδόλως ἀντιδίδως·
ἐγώ, φησίν, ἀντιμετρῶ τὴν ὀφειλὴν ἀξίως,
καὶ βλέπω τὸ μακρόθυμον καὶ τὸ εὐχάριστόν σου. »
Ἄφες ἃς χαίρῃ ὡς χαίρεται, καὶ σὺ λυποῦ ὡς λυπᾶσαι,
ἀπόλαβέ σου τὰ κακά, κ' ἐκεῖνος τὰ καλά του·
κόσμος, ὡς οἶδας, ἕτερος ἡτοίμασται καὶ κρίσις,
καὶ βῆμα φρικωδέστατον καὶ δικαστὴς καὶ βίβλοι·
πάντες ἐκεῖ γεγράμμεθα δακτύλῳ τοῦ κυρίου,
ἐκεῖ δημοσιεύονται πάντων τὰ κεκρυμμένα,
ἐκεῖ παραστησόμεθα καὶ πλούσιος καὶ πένης,
καὶ λόγους ἀποδώσομεν τῶν πεπλημμεληκότων·
οἱ πάντες ἀνταπόδωσιν εὑρήσομεν ἀξίαν
τῶν λογισμῶν, τῶν ἐννοιῶν ἐκείνων καὶ τῶν τρόπων.
Ἐκεῖ ῥαβδούχων ὅμιλος, ἐκεῖ πληθὺς κολάκων,
καὶ τράπεζα πολυτελής, καὶ παρασίτων ὄχλος,
καὶ θρύψις ἄλλη περιττή, καὶ κούφη φαντασία,
ἀσυντελής, ἀνωφελής, ἄπρακτος καθορᾶται·
ἐκεῖ κοινὸν κριτήριον καὶ τάξις πάντων μία·
οὐκ ἀτιμάζεται πτωχός, οὐ παρορᾶται πένης,
οὐ προτιμᾶται πλούσιος, οὐκ ἔχει παρρησίαν,
οὐ τάξιν ὑπερέχουσαν καὶ πρωτοκαθεδρίαν·
οὐ κρύπτεται τὸ δίκαιον, οὐ δώροις, οὐ προσώποις,
οὐ στόμα λάλον δύναται, καὶ γλῶσσα συκοφάντης,
οὐ ψεῦδος παρεισάγεται, δόλος οὐκ ἔχει χώραν.
Κριτοῦ δικαίου κρίνοντος, πᾶσα δικαία κρίσις·
ἐκεῖ πατὴρ οὐκ ὠφελεῖ, μήτηρ οὐ χρησιμεύει,
μόνη τῶν ἔργων ἡ ἰσχὺς σώζει τὸν κεκτημένον,
οὐ δάκρυσιν ὁ δικαστὴς κάμπτεται πολυρρύτοις,

οὐ λόγοις παρακλητικοῖς, οὐ στεναγμοῖς καὶ γόοις.
Ἄκρῳ δακτύλῳ δεηθεὶς τὴν γλῶσσαν δροσισθῆναι
μέσον φλογὸς ἐνέτυχεν ὁ πλούσιος ἐκεῖνος,
τοιαύτη γὰρ ἀνταμοιβὴ κεῖται τοῖς ἀλαζόσι,
τοῖς ἐπηρμένοις τὰ πολλά, καὶ τοῖς καταφρονοῦσι
πτωχῶν, ἀπόρων, ὀρφανῶν, πενήτων, αἰχμαλώτων,
δούλων, ἀχρείων, ταπεινῶν, ξένων, [γυμνῶν,] ἀστέγων·
ἀλλ' ἂν ἁγίως ἔπαθες καὶ θλίβῃ κατὰ τοῦτο....
* *
Καὶ μᾶλλον εὐχαρίστησε θεῷ τῷ φιλανθρώπῳ,
τῷ πάντα πρὸς ὠφέλειαν ἡμῶν οἰκονομοῦντι.
Ἀνὴρ ὁ Ἄβελ δίκαιος, ἀλλὰ παρὰ τοῦ Κάϊν
οὕτω ματαίως φθονηθεὶς θανάτῳ παρεδόθη· (F. 24 *a*.)
καὶ σκόπει χάριν ἄρρητον, ὅρα τὸ κέρδος ὅσον
ἐπὶ μισθῷ τῶν θυσιῶν αὐτοῦ τῶν ἐτησίων,
καὶ στέφος ἐκομίσατο λαμπρὸν τῆς μαρτυρίας·
ὁ δὲ φθονήσας ἀδελφός, ὁ δὲ φονεύσας Κάϊν,
δίκας ἑπτάκις ἔδωκε τῆς ἀδελφοκτονίας.
Μὴ μοι λοιπὸν δυσχέραινε, μὴ στέναζε, μὴ θλίβου,
μὴ θορυβοῦ καθ' ἑαυτόν, ἀλλ' εὐχαρίστει μᾶλλον·
ὅσον ἀπταίστως ἔπαθες, ὅσον ἀδίκως πάσχεις,
τοσοῦτον πολλαπλάσιος ἀπόκειται μισθός σοι
παρὰ θεῷ τῷ ποιητῇ πάντων καὶ κηδεμόνι·
ἐκεῖνος, κἂν εἰς φυλακὴν κἂν εἰς δεσμοὺς ἐμπέσῃς,
νὰ σὲ ἀνασπάσῃ δύναται καὶ νὰ σ' ἐλευθερώσῃ.
Οὐδὲν θεωρεῖτε τοῦτο ἐν' πάλιν ἀρχὴ δακρύων;
τῆς φυλακῆς τῆς μιαρᾶς ὄνομα μόνον εἶπον,
καὶ παρευθὺς τὸ στόμα μου γεμίζεται πικρίας.
Ὦ τῶν δεινῶν καὶ ζοφερῶν τῶν ταύτης θεαμάτων!
πάντα πικρά, πάντα στυγνά, πάντα μεστὰ τῶν θρήνων!

420. γόης. — 427. Après ce vers, j'indique une lacune, car le sens est certainement interrompu. — 432. De ὅρα, on ne voit plus que la première lettre. — 433. ἐτισίων. — 438. ἑαυτῶν. — 443. ἀνασπάσει. σὲ. — 444. θεωρεῖται τί ἐν τοῦτο (corr. Wagner).

Εἶδον ψυχὰς ἐλεεινὰς δεινῶς ἐταζομένας,
εἶδον βαρεῖς ἐξεταστὰς ὑλάσσοντας ὡς κύνας,
τοῦ φυλακίτου τὴν ψυχὴν καταπιεῖν ὁρμῶντας,
εἰ προσεγγίσαι πώποτε τολμήσει τῷ πυλῶνι,
χάριν μικρᾶς ἀνακωχῆς καὶ κουφισμοῦ τῶν πόνων.
Πᾶσαν ποινὴν καὶ κάκωσιν καὶ μάστιγα νικῶσι
οἱ φύλακες τῆς φυλακῆς, οἱ πυλωροὶ τοῦ ᾅδου,
ὄμμα δεικνύντες βλοσυρὸν καὶ χαλαρὰς ὀφρύας,
καὶ τῶν μυκτήρων πέμποντες φλόγα πυρὸς ἀσβέστου,
καὶ τοὺς ὀδόντας θήγοντες δίκην θηρῶν ἀγρίων,
καὶ τὰς ψυχὰς σπαράσσοντες τὰς ἤδη νεκρωθείσας.
Οὐ δύναμαι κατὰ λεπτὸν περιλαβεῖν τῷ λόγῳ
τὸν κωκυτόν, τὰ δάκρυα, τὴν θλῖψιν, τὴν ὀδύνην,
ἣν προξενοῦσι ταῖς ψυχαῖς τῶν ἀποκεκλεισμένων
οἱ μανικὸν ὑλάσσοντες καὶ πλέον τοῦ Κερβέρου.
Πῶς ἀπαγγείλω θάνατον τοῖς μήποτε θανοῦσι;
πῶς ἀπαγγείλω χωρισμὸν τοῖς χαίρουσιν ἐν κόσμῳ;
ἠγνόησεν ὁ μὴ θανὼν τὴν γεῦσιν τοῦ θανάτου,
ὁ δὲ θανών, ὁ δὲ ταφεὶς καὶ καταβὰς εἰς ᾅδην,
ἐκεῖνος φεῦ! ἐγεύσατο καὶ χωρισμοῦ πικρίας,
ἐκεῖνος οὕτως ἔγνωκε καὶ πόνον τοῦ θανάτου.
Ταύτας ἐγὼ τὰς φυλακὰς κ' ἐκείνην τὴν ἡμέραν
ὡς ἐναντὰς λογίζομαι καὶ συγγενεῖς τὰς κρίνω·
εἶδον βασάνων ὄργανα παντοῖα καὶ ποικίλα,
καὶ παρευθὺς ἀνίχνευτον ἐζήτουν, ἐμερίμνουν,
κατεπειγόμην ἐφευρεῖν τὸν λόγον, τὴν αἰτίαν,
δι' ἣν ψυχαὶ κολάζονται χρόνους οὐ μετρουμένους·
καί, γνοὺς τὸ πῶς καὶ διατὶ καὶ κατὰ ποῖον λόγον,
ἐδάκρυσα περιπαθῶς, ἀναβοῶν καὶ λέγων·
« δίκαιος ὄντως ὁ κριτής, ζυγὸς δικαιοσύνης,
εὐθύτατος, ἰσόρροπος, ἀποδιδοὺς ἑκάστῳ
ἀξίως τὴν ἀνταμοιβὴν τῶν τρόπων καὶ τῶν ἔργων·

461. κοκυτόν.

τοῖς μὲν γὰρ ἐχαρίσατο τὸ τῆς Ἐδὲμ χωρίον,
οἷα καλῶς βιώσασι καὶ πολιτευσαμένοις,
τοῖς δὲ λοιποῖς ἀπένειμε τὸν πέδον τοῦ κλαυθμῶνος,
ὡς γευσαμένοις τοῦ φυτοῦ παρ' ἐντολὴν κυρίου. »
Ὄντως ἰδοὺ πεπλήρωται ῥητὸν τὸ τοῦ προφήτου·
« ἁμαρτωλοί, πορεύθητε πάντες ἀνυποστρόφως
ὅπου ταρτάρου κάκωσις, ὅπου ζοφώδης ᾅδης,
ἐφ' ᾧ καὶ κατεκρίθητε πάσχειν εἰς τοὺς αἰῶνας,
εὑρόντες ἀνταπόδωσιν ἀξίαν τῶν πραχτέων. »
Ὁ μὲν γὰρ ἐκκολάζεται προφάσει τῇ τοῦ φόνου,
φονεῦσαι γὰρ ἐλέγετο τὸν ἴδιον δεσπότην·
ὁ δ' αὖθις τὸν ὁμόφυλον ἐστέρησε τοῦ βίου,
καὶ τούτου χάριν ἔπασχεν ὡς κατακεκριμμένος·
ἄλλοι παρεπικραίνοντο δεινοῖς κολαστηρίοις,
ὡς ἄνδρες δολιότητος, ὡς ἄνδρες τῶν αἱμάτων,
ὡς ὁπλισθέντες καθ' ἡμῶν καὶ τῆς ἡμῶν πατρίδος·
ἄλλοι κατησφαλίζοντο δεσμοῖς ἀλλὰ δυσλύτοις,
ὡς ἐν ἀγκίστρῳ δέλεαρ προθέμενοι φιλίαν,
καὶ βόθρους συσκευάζοντες κατὰ τῶν χριστωνύμων,
ἢ λάθρα παγιδεύοντες τὰς πόλεις ὁλοκλήρους·
ἄλλοι τὰς χεῖρας ἔφερον σιδήρῳ δεδεμένας,
ὡς χεῖρα μιμησάμενοι τὴν βασιλικωτάτην,
καὶ τολμηρῶς ὑπογραφαῖς χρησάμενοι κοκκίναις·
ἄλλος εἰς χοῦν κατήγετο τοῦ ᾅδου καὶ πυθμένα,
ὡς ἀλαζὼν καὶ σοβαρός, ὡς ἄλλος Ἑωσφόρος,
ὡς ῥῆμα πέμπων βλάσφημον καὶ κατ' αὐτοῦ τοῦ πλάστου·
« θήσω καὶ γὰρ τὸν θρόνον μου, φησίν, ἐπὶ νεφέλαις, (F. 24 *b*.)
καὶ ὅμοιος ἐν ἅπασιν ἔσομαι τῷ ὑψίστῳ. »
οἱ δ' αὖ ἐμωλωπίζοντο τὰ νῶτα τοῖς βουνεύροις,
χεῖρα βαλόντες ἅρπαγα κατὰ τῶν ἀλλοτρίων.
Οὐκ ἦν ἰδεῖν ἀλόγιστον ἔν τινι τιμωρίαν,

488. κατεκρίθησαν. — 490. ἐκολάζεται. — 498. ἐναγκύστρῳ. — 509. De ἐμωλωπίζοντο on ne lit plus que ἐμ...πίζοντο. La restitution me semble certaine. — 510. λαβόντες.

οὐδὲ δακρύων ὀχετὸν κινούμενον εἰς μάτην.
Τοιαῦτα τοίνυν κατιδὼν καὶ τούτων ἄλλα πλείω,
ὅλως δειλίας γέγονα καὶ τρόμῳ συνεσχέθην,
καὶ στάς, ὁ τάλας, ἄφωνος καὶ πεπηγὼς ὡς λίθος,
καὶ γεγονὼς περίδακρυς ἔδοξα παρακοῦσαι
ὥσπερ τινὸς ἐγγίσαντος καὶ πρὸς ἐμὲ λαλοῦντος·
« ἐδᾶ, Μιχάλη ταπεινέ, φέρε τὸν λογισμόν σου.
ὅσα καὶ ἂν εἶδες ἄφες τα, τοῦτα παιγνίδια οὐκ ἔνι,
φόβητρα δὲ καὶ βάσανα, καὶ στοναχαὶ καὶ πένθη,
ἀσυμπαθεῖς ἐξετασταὶ καὶ φοβεραὶ κολάσεις.
Τῷ βασιλεῖ σου πρόσδραμε, λέγε τὰ πταίσματά σου·
ὁ βασιλεὺς φιλάνθρωπος, καὶ νὰ σὲ συμπαθήσῃ. »
« Ἐκύκλωσάν με σήμερον ὠδῖνες τοῦ θανάτου. »
« Ἐπικαλοῦ τὸν κύριον, κἀκεῖνος ῥύσεταί σε·
οὐ θέλει τὸν ἁμαρτωλὸν θανάτῳ συσχεθῆναι
πρὸς τὴν αὐτοῦ μετάνοιαν καὶ τὴν ἀποστροφήν του.
Παγίδες περιέσχον σε καὶ κλεῖθρα τοῦ θανάτου·
ἐκεῖνος ἄρει τὸν κλοιὸν καὶ τὰ δεσμὰ συντρίψει,
καὶ πάλιν σοὶ χαρίσεται τὴν πρὶν ἐλευθερίαν.
Οὐκ ἦλθεν εἰς μετάνοιαν καλέσαι τοὺς δικαίους;
τοὺς δ' ἐξ ἀπάτης ὄφεως πολλάκις ἑπταικότας
κατόπιν ἠκολούθησεν σταυρὸν ἐπ' ὤμων φέρων.
Ἐν οἴκῳ τοῦ κυρίου σου κρεῖσσον παραρριπτεῖσθαι
ἢ συνοικεῖν ἁμαρτωλοῖς καὶ πονηρευομένοις.
Μὴ φοβηθῇς τὸ σύνολον, ἂν ἔπταισας, εἰπέ το,
πρὶν σὲ καταδεσμήσουσι καὶ χάσῃς τὰ γερά σου. »
« Καλὸν τὸ λέγεις, ἄνθρωπε· τίς εἶσαι οὐδὲν γνωρίζω·
ὡς νουνεχὴς ἐλάλησας καὶ λέγεις τὸ καλόν μου,
ἀλλ' εἰς κενὸν τὰ τοῦ σκοποῦ καὶ τὰ τῆς συμβουλῆς σου·
ὕπαγε, παρεγνώρισες· οὐκ εἰμ' ἐγὼ τὸν λέγεις,
παντὸς γὰρ ἁμαρτήματος ἐκτὸς τὸ συνειδός μου.

517. ἐγγύσαντος. — 519. Ce que je lis ὅσα καὶ ἂν est peu apparent dans le ms. — 524. ὠδίναις. — 533. ἐπ' ὤμον φέρον. — 534. παραριπτεῖσθαι. — 537. χάσεις. — 538. ἦσε. — 541. ἦμαι.

Ἐγὼ γονεῖς οὐκ ἔθλιψα, φόνον οὐκ εἰργασάμην,
οὐδέποτε συνώδευσα φονεῦσιν αἱμοβόροις·
οὐκ ἐπλασάμην πρόσταγμα ποτὲ τῶν ἡμερῶν μου,
ἀκρόστιχον οὐκ ἔφαγα, χρέος οὐδὲν φοβοῦμαι,
οὐ χαίρω ξέναις θλίψεσι, οὐκ εἶμαι συκοφάντης·
(ὁ συκοφάντης μὴ χαρῇ, μηδὲ τελεσφορήσῃ,
ὅτι τὰς σάρκας προφανῶς τῶν ἀδελφῶν ἐσθίει!)
εἰς ὕβρεις οὐκ ἐχώρησα, κατὰ τινὸς οὐκ εἶπον,
τοῦ ψεύδους τὴν ἀλήθειαν πάντοτε προτιμῶμαι·
τιμὴν εἰς πάντας κέκτημαι, φιλῶ τὴν ἡσυχίαν,
πᾶσαν μισῶ περίνοιαν, πᾶσαν μισῶ διπλόην,
οὐ φέρω τι περίεργον, οὐδὲ μετέσχον δόλου·
βδελύσσομαι τὰ σκάνδαλα, τὸ μῖσος, τὴν μαγείαν,
καὶ φεύγω τὸ μνησίκακον, ὡς φεύγει τις τὸν ὄφιν·
τοῖς πᾶσι πάντα γίνομαι, γῆ καὶ σποδὸς ὁρῶμαι,
καὶ θέλω οὐ θέλω γίνομαι καὶ τοῦ μωροῦ σαμάριν·
τοῖς βασιλεῦσιν εὔχομαι χρόνους ζωῆς ἀμέτρους,
χαρὰν τὴν ἀνεκλάλητον, λύπης ἐκτὸς τὸν βίον,
υἱοὺς ἰδεῖν καὶ τῶν υἱῶν, ἐχθροὺς καθυποτάξαι,
καὶ κληρονόμους ἔσεσθαι τῆς ἄνω βασιλείας.
Οὐδὲν εὑρήσεις αἴτιον τῆς κατασχέσεώς μου,
οὐ πρόφασιν τὸ σύνολον εὔλογον τοῦ θανάτου·
ἀλλ' ἔλαθε τὸν ἄγγελον, εἰς ἄλλον ἀπεστάλη,
παρήκουσεν, ὡς ἔοικε, φωνῆς τῆς τοῦ κυρίου,
ἄλλον ἀντ' ἄλλου σήμερον κατήγαγεν εἰς ᾅδην·
ἄνευ τινὸς προφάσεως καὶ δίχα καταδίκης,
παρὰ καιρὸν ὑποπεσεῖν θανάτῳ κατεκρίθην,
παραδοθῆναι κολασταῖς καὶ πάσχειν ἄλλην ἄλλος.
Καὶ νὰ τὸ καταδέξωμαι νὰ κάτζω νὰ σιγήσω,

544. συνόδευσα. — 546. ἀκρόστιχον οὐκ ἔφαγα. Quelqu'un me conseillait de remplacer ἔφαγα par ἔγραψα. Mais il ne s'agit pas ici d'un *acrostiche*. Voyez Du Cange et Somavera *s. v.* — 547. ἡμε. — 555. βδελίσσομαι. — 558. τὸ μωροῦ. Corrigé par Wagner. — 563. εὑρήσῃς. — 570. ἀλληνάλλως.

νὰ μὲ κερδήσῃ ὁ θάνατος, καὶ νὰ μὲ φάγῃ ὁ τάφος
καὶ νὰ χαωθῶ παράτωρα, καὶ δίκαιον ποῦ εἰς τὸν κόσμον; »
« Ὦ Μιχαὴλ ταλαίπωρε, παιδὶν τῆς δυστυχίας,
ἔχεις καιρὸν ἀναπνοῆς, ἔχεις καιρὸν ἀδείας,
ἀνάφερε κατὰ λεπτὸν πάντα τῷ βασιλεῖ σου,
ὑπόμνησον περὶ παντός, ἀνάγγειλον ἀφόβως
ὅπως ἀδίκως σήμερον εἰς ᾅδην κατηνέχθης,
καὶ παρεδόθης κολασταῖς, ἄλλων ἡμαρτηκότων·
ὁ βασιλεὺς φιλάνθρωπος, δίκαιος, ἐλεήμων,
καὶ τύχῃς ’ναζωώσεως καὶ τύχῃς σωτηρίας! »

572. κερδήσει.

ΤΟΥ ΠΡΟΔΡΟΜΟΥ ΚΥΡΟΥ ΘΕΟΔΩΡΟΥ

ΠΡΟΣ ΤΟΝ ΒΑΣΙΛΕΑ ΤΟΝ ΜΑΥΡΟΪΩΑΝΝΗΝ.

BIBLIOTHÈQUE NATIONALE. Manuscrit 396.

Τί σοὶ προσοίσων, δέσποτα, δέσποτα στεφηφόρε; (P.684.)
ἀνταμοιβὴν ὁποίανδε ἢ χάριν προσενέγκω
ἐξισωμένην πρὸς τὰς σὰς λαμπρὰς εὐεργεσίας,
τὰς γινομένας εἰς ἐμὲ τοῦ κράτους σου παντοίας;
Πρό τινος ἤδη πρὸ καιροῦ καὶ πρὸ βραχέος χρόνου,
οὐκ εἶχον οὖν, ὁ δύστηνος, τὸ τί προσαγαγεῖν σοι
κατάλληλον τῷ κράτει σου καὶ τῇ χρηστότητί σου, (P. 685.)
καὶ τῇ περιφανείᾳ σου καὶ χαριτότητί σου,
εἰ μὴ τινὰς πολιτικοὺς ἀμέτρους πάλιν στίχους,
συνεσταλμένους, παίζοντας, ἀλλ' οὐκ ἀναισχυντῶντας,
παίζουσι γὰρ καὶ γέροντες, ἀλλὰ σωφρονεστέρως.
Μὴ οὖν ἀποχωρίσῃς τους, μηδ' ἀποπέμψῃς, μᾶλλον
ὡς κοδιμέντα δέξου τους ποσῶς ἂν οὐ μυρίζουν,
καὶ φιλευσπλάγχνως ἄκουσον ἅπερ ὁ τάλας γράφω.
Κἂν φαίνωμαι γάρ, δέσποτα, γελῶν ὁμοῦ καὶ παίζων,
ἀλλ' ἔχω πόνον ἄπειρον καὶ θλῖψιν βαρυτάτην,
καὶ χαλεπὸν ἀρρώστημα, καὶ πάθος, ἀλλὰ πάθος!
Πάθος ἀκούσας τοιγαροῦν μὴ κήλην ὑπολάβῃς,
μηδ' ἄλλο τι χειρότερον ἐκ τῶν μυστικωτέρων,
μὴ κερατᾶν τὸ φανερόν, μὴ ταντανοτραγάτην,
μὴ νόσημα καρδιακόν, μὴ περιφλεγμονίαν,
μὴ σκορδαψόν, μηδ' ὕδερον, μὴ παραπνευμονίαν,

VERS PREMIER. προσοίσω (*correction de Wagner*).
22. Peut-être περιπνευμονίαν.

ἀλλὰ μαχίμου γυναικὸς πολλὴν εὐτραπελίαν·
προβλήματα προβάλλουσα καὶ πιθανολογίας
καὶ τὸ δοκεῖν εὐλόγως μοι προφέρεται πλουτάρχως.
Καὶ θέλω δεῖξαι προφανῶς τὴν ταύτης μοχθηρίαν,
ἀλλὰ φοβοῦμαι, δέσποτα, τοὺς ἰταμωδεστέρους,
μήπως ἐμὲ ἀκούσωσι, καὶ ὑπάγουν εἰς τὸ σπίτιν
καὶ νὰ μὲ πιττακώσωσιν ἐκ τῶν ἀπροσδοκήτων·
καὶ κρεῖσσον εἶχον, δέσποτα, τὸ νὰ μὲ θάψουν ζῶντα,
καὶ νὰ μὲ βάλουν εἰς τὴν γῆν, καὶ νὰ μὲ περιχώσουν,
παρὰ νὰ μάθῃ τίποτε τῶν ἄρτι γραφομένων.
Φοβοῦμαι γὰρ τὸ στόμαν της, φοβοῦμαι τὴν ὀργήν της,
τὰς ἀπειλάς της δέδοικα καὶ τὴν ἀποστροφήν της.
Εἰ δὲ πολλάκις δόξει την καὶ φθάσει ὁ καρκατζᾶς της,
καὶ ὁρίσει τὰ ψυχάρια της καὶ τὴν πρωτοβαβᾶν της, (P. 686.)
καὶ πιάσουν καὶ ταυρίσουν με καὶ σύρουν με εἰς τὴν μέσην,
καὶ δώσουν με τὰ τρίκωλα καὶ τὰ χαρακτικά μου·
τίς ἔλθοι κ' ἐκδικήσῃ με κ' ἐκβάλῃ με ἀπ' ἐκείνης;
Ὅμως κἂν οὕτως γένηται, κἂν οὕτως κἂν ἀλλοίως,
καιρὸς λοιπὸν τὰ κατ' ἐμὲ πάντα σοι σαφηνίσαι·
οὐ φέρω γάρ, ὦ δέσποτα, τὴν ταύτης μοχθηρίαν,
τοὺς καθ' ἡμέραν χλευασμοὺς καὶ τὰς ὀνειδισίας·
« τό, κύρι, οὐκ ἔχεις προσοχήν· τό, κύρι, πῶς τὸ λέγεις;
τό, κύρι, τί προσέθηκας; τό, κύρι, τί ἐπεκτήσω;
ποῖον ἱμάτιον μ' ἔρραψας, ποιὸν δίμιτον μ' ἐποῖκες;
καὶ ποιὸν γυρὶν μ' ἐφόρεσας; οὐκ οἶδα Πασχαλίαν·
ἔχεις με χρόνους δώδεκα ψυχροὺς καὶ ἀσβολωμένους,
οὐκ ἔβαλ' ἀπὸ κόπου σου ταττίκιν εἰς ποδάριν,
οὐκ ἔβαλα εἰς τὴν ῥάχιν μου μεταξωτὸν ἱμάτιν,
οὐκ εἶδα εἰς τὸ δακτύλιν μου κρικέλιν δακτυλίδιν,
οὐδὲ βραχιόλιν μ' ἔφερες ποτὲ νὰ τὸ φορέσω.

28. μέ. καί, et ainsi partout où cette particule est élidée. Dans le ms. la conjonction καί n'est jamais écrite en entier, mais est figurée par le signe paléographique ordinaire. ὀσπήτιν. — 46. μὲ ἐρρ. δόμιτον. — 47. μέ. — 49. ἔβαλα. — 50. ῥάχην. — 51. οἶδα. — 52. μέ.

Οἱ ξένοι κατακόπτουσι τὰ γονικά μου ῥοῦχα,
κ' ἐγὼ καθέζομαι γυμνὴ καὶ παραπονεμένη.
Ποτὲ οὐκ ἐλούθην εἰς λουτρὸν νὰ μὴ στραφῶ θλιμμένη,
ἡμέραν οὐκ ἐχόρτασα, νὰ μὴ πεινάσω δύο,
στενάζω πάντοτε, θρηνῶ καὶ κόπτομαι καὶ κλαίω.
Τὴν θάλασσαν τὴν μ' ἔφερες, γνωρίζεις, ἔπαρέ την,
τὸ διβλαντάριν τὸ κουτνίν, καὶ τὸ ὑψηλὸν διβίκιν,
καὶ τὸ μεγαλογράμματον ἱμάτιν τὸ κνικάτον,
ἢ χάρισον, ἢ πώλησον, ἢ δὸς ὁποῦ κελεύεις·
τὰ λουτρικὰ τὰ μ' ἔποικες καὶ τὸ κραββατοστρῶσιν
εἰς κλῆρον νὰ τὰ δέξωνται οἱ παῖδες σου πατρῷον·
τὰ γονικά σου πράγματα καὶ ἡ οἰκοσκευή σου
ἀρκοῦν τὰς θυγατέρας σου νὰ τὰς ἐξωπροικίσῃς· (P. 687.)
καὶ σὺ ἂς ἦσαι σιγηρὸς καὶ ἀπομεριμνημένος.
« Ἐπεντρανίζεις, ἄνθρωπε, κἂν ὅλως θεωρεῖς με·
ἐγὼ ἤμην ὑπολῃπτική καὶ σὺ ἦσουν ματζουμάτος·
ἐγὼ ἤμην εὐγενική καὶ σὺ πτωχὸς πολίτης,
σὺ εἶσαι Πτωχοπρόδρομος κ' ἐγὼ ἤμην Ματζουκίνη,
σὺ ἐκοιμῶ εἰς τὸ ψιαθὶν κ' ἐγὼ εἰς τὸ κλινάριν·
ἐγὼ εἶχον προῖκα περισσήν, καὶ σὺ εἶχες ποδο[νήπτριν],
ἐγὼ εἶχον ἀσημοχρύσαφον, καὶ σὺ εἶχες σκαφοδούγας,
καὶ σκάφην τοῦ ζυμώματος καὶ μέγαν πυροστάτην.
Καθέζεσαι εἰς τὸ σπίτιν μου, κ' ἐνοίκιον οὐ φροντίζεις,
τὰ μάρμαρα ἠφανίσθησαν, ὁ πάτος συνεπτώθη,
τὰ κεραμίδια ἐλύθησαν, τὸ στέγος ἐσαπρώθη,
οἱ τοῖχοι καταπίπτουσιν, ἐξεχερσώθη ὁ κῆπος,
κοσμίτης οὐκ ἀπέμεινεν, οὐ γύψος, οὐδὲ σπέτλον,
οὐδὲ ῥιγλὶν μαρμάρινον, οὐ συγκοπὴ μετρία,
αἱ θύραι συνεστράφησαν ἐξ ὁλοκλήρου πᾶσαι,
τὰ κάγκελλα ἐξυλώθησαν ἀπ' ἄκρας ἕως ἄκραν,
καὶ τὰ στηθαῖα ἔπεσον τὰ πρὸς τὸ περιβόλιν.

58. με. ἔπαραι. — 73. ἀσῖμοχρύσαφον. — 75. ὀσπήτιν. — 82. κάγκελα ἐξηλ. — 83. στηθέα. L'accentuation indique qu'il faut écrire στηθαῖα. Voyez Du Cange au mot στήθεα, où il cite un exemple de στηθαῖα.

Θύραν οὐκ ἤλλαξάς ποτε, σανίδιν οὐκ εὐψύχει,
ποτὲ οὐκ ἐξεκεράμωσας, οὐδὲ ἀνερράψω τοῖχον,
οὐ τέκτονα ἐκάλεσας ἵνα τὸν περιρράψῃ,
οὔτε καρφὶν ἠγόρασας νὰ ἐμπήξῃς εἰς σανίδιν.
Βλέπουν σε τὰ ψυχάρια μου κ' ἔχουν σε ὡς αὐθέντην,
φοβοῦνται, παραστήκονται, δουλεύουν καὶ τιμῶσιν.
Ἐγὼ κρατῶ τὸ σπίτιν σου καὶ τὴν ὑποταγήν σου,
δουλεύω τὰ παιδία σου παρὰ βαβᾶν καλλίστην,
οἰκονομῶ τὰ κατὰ σέ, τρέχω, μοχθῶ, διώκω,
καὶ κάμνω λινοβάμβακον ἱμάτιν καὶ φορῶ το,
ἔχεις με κουρατόρισσαν, ἔχεις με ἀναπλαρέαν, (P. 688.)
καὶ κάμνω καὶ τὰ μαλλωτά, κάμνω καὶ τὰ ναρθήκια·
ἔχεις με ψιλονήτριαν, καὶ κάμνω τὸ λινάριν,
κάμνω ὑποκαμισόβρακα, στοιβάζω τὸ βαμβάκιν·
ἔχεις με προσμονάριον ὁμοῦ κ' ἐκκλησιάρχην,
καὶ κανονάρχην σὺν αὐτοῖς, καὶ χωρικὸν νοτάριν,
καὶ σὺ καθέζεσαι ὡς πωλὶν χασμένον εἰς τὸ βρῶμα,
καὶ καθ' ἡμέραν προσδοκᾷς τί νὰ σὲ παραβάλλω.
Τὸ τί σὲ θέλω ἐξαπορῶ, τὸ τί σὲ χρῄζ' οὐκ οἶδα·
ἂν οὐκ ἐθάρρεις κολυμβᾶν, κολυμβητὴς μὴ ἐγένου,
ἀλλ' ἂς ἐκάθου σιγηρὸς καὶ ἀπομεριμνημένος,
καὶ ἂς ἔκνηθες τὴν λέπραν σου, καὶ ἂς ἤφινες ἐμέναν.
Εἰ δὲ κομπώσειν ἤθελες καὶ λάβειν καὶ πλανήσειν,
ἂς ἔλαβες ὁμοίαν σου καπήλου θυγατέραν,
κουτζοπαρδάλαν τίποτε γυμνήν, ἠπορημένην,
ἢ χορταρίναν τριφυλλον ἀπὸ τὰ μανινέα.
Καὶ τί μὲ παρωδήγησας τὴν ἀπωρφανισμένην
μὲ τὰ συχνογυρίσματα καὶ μὲ τὰς κομπωσίας,
καὶ μὲ τοὺς ὀψικάτορας καὶ τὸ πολὺν ὀψίκιν; »
Ἐν ἐπιτόμῳ τοιγαροῦν, δέσποτα, δέσποτά μου,
ἐκ τῶν πολλῶν ὁ δοῦλος σου τινὰ παρεστησάμην.

84. ἤλαξας. — 86. ἐχάλησας. — 90. ὀσπήτιν. — 91. βαββᾶν. — 95. μαλωτά. στυβάζω. — 103. ἐθάρρης. — 104. ἀλλὰ. — 105. ἤφηνες. — 110. ἀπορφανισμένην. — 111. συτνωγυρίσματα.

Εἰ γὰρ ἠθέλησά ποτε τὰ πάντα σοὶ συγγράψαι,
ἡρώων ἂν κατάλογον ἄλλον συνεγραψάμην·
ἀλλ' ἔτι τὰ λεγόμενα ἀρκοῦσι φιλαλήθως
καὶ πρόδηλα τυγχάνουσι καὶ πεφανερωμένα,
καὶ κἂν ἀλήθειαν ἔχωσι καὶ πιθανολογίας,
ψευδῆ τὰ πάντα, δέσποτα, καὶ λῆρον ὀνομάζω,
καὶ μῦθον τὰ λεγόμενα καλῶ καὶ φληναφίας·
ἔχουσι γὰρ τινὰ ῥητὰ πικρίας πεπλησμένα.
Ἡ δὲ τὰς ἀποκρίσεις μου μὴ καταδεχομένη, (P. 689.)
στήκει, τριχομαδίζεται, δέρει τὰ μάγουλά της·
συνάγει τὰ παιδία της, ἀπαίρει καὶ τὴν ῥόκαν,
ἐμβαίνει εἰς τὸ κουβούκλιν της, κλείει σφικτὴν τὴν θύραν,
μουλλόνεται καὶ κρύπτεται, ἐμὲ δ' ἀφίνει ἔξω,
ὡς τὸ ἐποίκεν πρὸ πολλοῦ, δέσποτα στεφηφόρε,
ὅταν ἐστράφην σάβουρος ἀπ' ὧδε παρ' ἐλπίδα·
ἡνίκα γὰρ εἰσέβηκα τὴν θύραν καβαλλάρης,
ὡς εἶδεν ὅτι ἐπέζευσα, καὶ ἀνέβηκα κ' ἐκάτζα
δίχα θορύβου καὶ βοῆς, χωρὶς ὀχλαγωγίας,
μή τινας ἐπαγόμενος μαχίμους στρατιώτας,
μὴ προπομπούς, μηδ' ὀπαδοὺς ῥαβδούχους, σκηπτροφόρους,
μὴ χρυσοφόρων ὁπλιτῶν μαχίμων συνεργίαν,
μηδὲ πεζῶν ἐπιδρομὴν σφενδονητῶν ἀγούρων,
μικρολαλεῖν ἀπήρξατο καὶ συχνομουρμουρίζειν.
Ἐγὼ δ' ὡς ἤμην νηστικὸς ἀπὸ τὸ φιλοπότιν,
μὴ κρύψω τὴν αἰτίαν μου κ' ἔχω πολλάκις κρίμα,
ὡσὰν ἐμελαγχόλησα καὶ ἠγριολάλησά την,
καὶ πάλιν τὰ συνήθη μοι συμφώνως ἐπεφώνει·
« τὸ τί θαρρεῖς; τὸ τίς εἶσαι; τὸ βλέπε τίνα δέρεις,
ποίαν ὑβρίζεις πρόσεχε καὶ ποίαν ἀτιμάζεις·
οὐκ εἶμαι σθλαβοποῦλα σου, οὐδὲ μισθάρνισσά σου.
Πῶς ἤπλωσας ἐπάνω μου; τὸ πῶς οὐκ ἐνετράπης;

124. δαίρει. — 126. Il y a peut-être σφικτά, car la fin du mot n'est presque plus apparente. — 127. — μουλώνεται. — 130. ἠσίβηκα. — 131. οἴδεν. — 142. ἦσαι. δαίρεις — 144. ἦμαι.

τὰ βρώσιμα ἐπεκύρωσας καὶ τὰ ποτὰ ὡσαύτως,
τὰ πάντα ἐξεστράγγισας, κ' ἐποίκες μ' ἐρημίτριαν.
Ἂν ἴδωσι τὰ μάτια μου ποτὲ τοὺς ἀδελφούς μου,
καὶ οὐ πιάσουν καὶ ἀψιδώσουν σε καὶ δείξουν καὶ τελέσουν,
καὶ δήσω σου εἰς τὸν τράχηλον τὰ τέσσαρα παιδία,
καὶ βάλω εἰς τὴν καρδίαν μου τὰ γονιμά μου κέρδη,
κ' ἐκβάλω σ' ἐκ τὸ σπίτιν μου μετὰ πομπῆς μεγάλης, (P.690.)
νὰ ποίσω καὶ τὸ πρόσωπον καὶ τὴν ὑπόληψίν σου,
νὰ ποίσω τὴν κουδοῦπαν σου αὐτὴν τὴν μαδισμένην! »
Τούτους τοὺς λόγους τοιγαροῦν ἀτίμως μοὶ λαλοῦσα,
εἶχον βουλήν, ὦ δέσποτα, νὰ τὴν περιρραπίσω,
πλὴν οὖν σκοπήσας ἑαυτόν, εἶπον εἰς νοῦν τοιάδε·
« διὰ τὴν ψυχήν σου, Πρόδρομε, καθίζου σιγηρός σου,
ὅσα κἂν λέγῃ βάσταζε καὶ φέρε τα γενναίως·
ἂν πλήξῃς γὰρ καὶ δώσῃς την πολλάκις καὶ πονέσῃ,
ὡς εἶσαι γέρων καὶ κονδὸς καὶ ὡσὰν ἀδυνατίζεις,
ἴσως ν' ἁπλώσῃ ἐπάνω σου καὶ νὰ σὲ σύρῃ ἐμπρός της,
καὶ ἂν τύχῃ καὶ ἀποδείρῃ σε νὰ σὲ ξεσφονδυλίσῃ.
Ὅμως εἰ βούλει μερικῶς νὰ τὴν περιτραλίσῃς,
πιάσε ῥαβδίν, βάλε φωνήν, ῥίψον τὸ καμελαύχιν,
'πόλυσον πέτραν κατ' αὐτῆς, πλὴν βλέπε μὴ τὴν δώσῃς,
καὶ πόδησον, κατάδραμε τάχα νὰ τὴν κρατήσῃς·
ὡς ἐπιτρέχεις, σκόνταψον, κατάβα, δὸς ἀθρόως·
καταπεσὼν ἀνάστηθι, πάλιν κατάτρεχέ την,
τοὺς ὀφθαλμοὺς ἀγρίωσον, δεῖξον λοξὸν τὸ βλέμμα,
τὸ καμελαύκιν στράβωσον, βρύξον καθάπερ λέων. »
Ὡς δ' οὐδὲ ῥάβδον ἐφευρεῖν ὁ τάλας ἠδυνήθην,
ἀπαίρω τὸ σκυπόρραβδον γοργὸν ἀπὸ τὴν χρείαν,
παρακαλῶν, εὐχόμενος καὶ δυσωπῶν καὶ λέγων·
« πανάχραντέ μου, κράτει την, ἐμπόδιζε, Χριστέ μου,

146. ἐπεκήρωσας. — 147. με ἐρημήτρι. Le reste est effacé. — 148. ὀμμάτια. — 152. σε. ὀσκήτιν. — 160. δώσεις. — 161. ἦσαι. — 162. νά. — 163. ἐξεσφονδυλίσῃ. — 165. πίασαι. καμελαύχιν. Voyez le vers 171. On trouve les deux orthographes. — 166. ἀπόλυσον. δώσεις.

μὴ παίξῃ κοντογύρισμα καὶ πάρῃ τὸ ῥαβδίν μου,
καὶ δώσῃ καὶ ποιήσῃ με στραβὸν παρὰ διαβόλου. »
Ὡς δὴ αὐτή, θεόστεπτε, πρὸ τῶν λοιπῶν ἁπάντων
καὶ τὸ ψωμὶν ἐκλείδωσε καὶ τὸ κρασὶν ἐντάμα,
φεύγει, λανθάνει, κρύπτεται, καὶ κλείσασα τὴν θύραν,
ἐκάθισεν ἀμέριμνος, κ' ἐμὲ ἀφῆκεν ἔξω. (P. 691.)
Κρατῶν δὲ τὸ σκουπόρραβδον, τὴν θύραν ἀπηρξάμην
ὡς δ' ἠγανάκτησα λοιπὸν κρούων σφοδρῶς τὴν θύραν·
εὑρὼν ὀπὴν ἐσίβασα τ' ἄκρον τοῦ σκουπορράβδου·
ἐκείνη δὲ πηδήσασα καὶ τούτου δραξαμένη
ἐταύριζεν ἀπέσωθεν, ἐγὼ δὲ πάλιν ἔξω·
ὡς δ' ἔγνω ὅτι δύναμαι καὶ στερεὰ τὴν σύρω,
χαυνίζει τὸ σκουπόρραβδον, τὴν θύραν παρανοίγει,
καὶ παρ' ἐλπίδα κατὰ γῆς καταπεσὼν ἡπλώθην.
Ὡς δ' εἶδεν ὅτι ἔπεσον, ἤρξατο τοῦ γελᾶν με,
ἐκβαίνει καὶ σηκόνει με γοργὸν ἀπὸ τοῦ πάτου,
καὶ τάχα κολακεύουσα τοιαῦτα προσεφώνει·
« ἐντρέπου, κύρι, νὰ σωθῇς· ἐντρέπου κἂν ὀλίγον,
οὐκ εἶσαι χωρικούτζικον, οὐδὲ μικρὸν νινίτζιν·
κατάλειψον τὴν δύναμιν, τὴν περισσὴν ἀνδρείαν,
καὶ φρόνει καλοκαίριν ἔν', τίμα τους κρειττονάς σου,
καὶ μὴ παλληκαρεύεσαι, μηδὲ λαζοφαρδεύῃς. »
Ἐν ἐπιτόμῳ τοιγαροῦν ταῦτα μοι προσειποῦσα,
πάλιν εἰσῆλθεν ἔνδοθεν, ἐκλείδωσεν, ἐκάτζεν.
Ἐγὼ δ' ἀπάρας παρευθὺς τρέχω πρὸς τὸ κουδούκλιν
καὶ πίπτω εἰς τὴν κλίνην μου, τὸ γεῦμα περιμένων.
Παραπεινᾶν ἀρξάμενος ἀνῆλθον ἐκ τῆς κλίνης,
καὶ πρὸς τὸ ἀρμάριν ἐπελθὼν εὑρίσκω κλειδωμένον.
Στραφεὶς οὖν πάλιν ἔπεσον ἐπάνω ἐπὶ τὴν κλίνην,
συχνὰ περιστρεφόμενος καὶ βλέπων πρὸς τὴν θύραν.

176. ἐπάρῃ. — 177. δώσει. — 179. ψωμήν. — 181. Le feuillet contenant les vers 181-233 (pages 691-692) est en parchemin. — 187. δέ. — 191. συκώνει. — 194. ἦσαι. — 196. ἔνι. — 197. παλικαρεύεσαι. λαξοφαρδεύεις. et au-dessus ῃς.

Τοῦ γοῦν ἡλίου πρὸς δυσμὰς μέλλοντος ἤδη κλίναι,
βοή τις ἄφνω [γίνεται] καὶ ταραχὴ μεγάλη, (P. 692.)
ἦν καὶ γὰρ ἐκ τῶν παίδων μου ἔπεσεν ἐκ τοῦ ὕψους,
καὶ κροῦσαν κάτω ἔκειτο ὥσπερ νεκρόν· αὐτίκα
συνήχθησαν αἱ γείτονες ὡς πρὸς παρηγορίαν,
αἱ μανδραγοῦραι μάλιστα καὶ πρωτοκουρκουσοῦραι,
καὶ τότε ἂς εἶδες θόρυβον καὶ ταραχὴν μεγάλην.
Ἀσχολουμένων τοιγαροῦν τῶν γυναικῶν καὶ πάντων
τῶν συνελθόντων ἐπ' αὐτὸ, ὡς φθάσας εἶπον ἄνω,
τοῦ βρέφους τῷ συμπτώματι καὶ τοῦ παιδὸς τῷ πάθει,
κρυπτῶς ἀπῆρα τὸ κλειδίν, καὶ ἤνοιξα τὸ ἁρμάριν·
φαγὼν εὐθύς τε καὶ πιὼν καὶ κορεσθεὶς ἐξαίφνης,
ἐξῆλθον ἔξωθεν κἀγὼ θρηνῶν σὺν τοῖς ἑτέροις.
Τοῦ πάθους καταπαύσαντος, τοῦ βρέφους δ' ἀναστάντος,
ἀπεχαιρέτηθαν εὐθὺς οἱ συνδεδραμηκότες·
παραλαβοῦσα δ' ἡ γυνὴ τοὺς ταύτης παῖδας πάντας,
εἰσῆλθεν ἔνδον σὺν αὐτοῖς καὶ πάλιν ὑπεκρύβη·
ἐγὼ δὲ μόνος κοιμηθεὶς δίχα παραμυθίας,
χωρὶς δείπνου καὶ σκοτεινὰ καὶ παραπονεμένα,
ἠγέρθην ταχυνώτερον, ἦλθον ἐπὶ τὴν κλίνην,
καὶ δὴ πιάσας τῇ χειρὶ τὴν θύραν τῆς εἰσόδου,
καὶ τό, κυρά μου, προσειπών, καὶ τό, καλή σου ἡμέρα,
καὶ τό, ψυχή, οὐκ ἀνοίγεις μοι, καρδιά, οὐ θεωρεῖς με,
καὶ στεναγμὸν ἀπὸ ψυχῆς ἐκπέμψας ἄχρι τρίτου.
Ὡς δ' οὐ φωνῆς ἀκήκοα οὐδέ τινος λαλίας,
οὐδὲ ψιλοῦ προσευύματος, οὐ σμικροτάτου λόγου,
πάλιν ὠπισθαπόδισα κ' ἐστράφην ἐξοπίσω,
καὶ σύνδακρυς γενόμενος ἐγύρισα κ' ἐκάτζα,
καὶ πρὸς τὸ γεῦμα, δέσποτα, πεσὼν ἀπεκοιμήθην. (P. 693.)

207. Après ἄφνω, on voit encore quelques traces de lettres que je ne puis parvenir à déchiffrer. Je supplée par γίνεται aux trois syllabes illisibles. — 211. Je ne puis distinguer s'il y a bien πρωτοκουρκουσοῦραι ou πρωτοκαρκουσοῦραι. En tout cas, la première leçon est certainement la meilleure. — 220. ἀπεχαιρέτιθαν. — 232. ὀπισθαπόδισα.

Καὶ μονοκύθρου μ' ἔδωκε καθ' ὕπνους μυρωδία,
καὶ παρευθὺς τὸν ὕπνον μου ῥίψας ἐκ τῶν βλεφάρων,
ἀναπηδῶ, σηκόνομαι μετὰ σπουδῆς μεγάλης,
παρὰ σκυλὶν λαγωνικὸν κάλλια ῥινηλατήσας,
κυττάζω τὸ μονόκυθρον ἀπέσω εἰς τὸ κουβούκλιν.
Οἱ παῖδες ἐσυνήχθησαν, ἐκάθισαν νὰ φάγουν,
καὶ τὸ τραπέζιν ἔστησαν μὲ τὴν ἐξόπλισίν του·
ὡς δ' εἶδε ταῦτ' ὁ δοῦλος σου χαρᾶς πολλῆς ἐπλήσθην,
ἐλπίζων νὰ μὲ κράξουσι νὰ κάτζωμεν νὰ φᾶμεν·
ὡς δὲ παρέδραμε καιρὸς καὶ τίποτε οὐκ ἐφάνη,
εὐθὺς ἀνακαθέζομαι μετὰ σπουδῆς μεγάλης,
κ' εὑρίσκω τὸ σκλαβώνικον καὶ βάλλω το ἐπάνω,
καὶ τῆς Τομπρίτζας τὸ μανδὶν ἐπάνω το ἐντυλίχθην,
καὶ βάλλω καὶ σκαράνικον ἐπανωκαμελαύχιν,
μακρὺν καλάμιν ἥρπασα, κινῶ πρὸς τὸ κουβούκλιν,
καὶ σφαλισμένον τὸ εὕρηκα καὶ ἀπέξωθεν ἱστάμην·
ἠρξάμην κράζειν συνεχῶς τὸ « δέμνε κυριδάτον »,
τὸ « σάμνε » καὶ τὸ « ντόμυρε » καὶ τὸ « στειροπορτέω ».
Ἔδραμον οὖν οἱ παῖδες μου μηδὲν μεμαθηκότες,
ἀπῆραν ξύλα παρευθὺς καὶ ῥάβδους τε καὶ λίθους,
τὴν σκάλαν μ' ἐκατέβασαν μετὰ πολλοῦ τοῦ τάχους·
ἡ μάννα των γνωρίσασα ἐφώνησε τοὺς παῖδας·
« ἀφῆτε τον, πτωχός ἐνι, καράνος, πελεγρῖνος. »
Καὶ ὡς τὸ ἤκουσα ὁ δοῦλος σου χαρᾶς πολλῆς ἐπλήσθην,
ὅτι ἡ κοιλιά μου ηὐκαίρησεν ἀπὸ τὴν ἀφαγίαν.
Ἡμερωθέντων τοιγαροῦν τῶν παίδων πα[ραυτίκα],
ἀνέβηκα τὴν σκάλαν μου τῇ τούτων ὁδ[ηγίᾳ],
κ' εὐθὺς πηδήσας καὶ εἰσελθών, καὶ προτραπεὶς [καθίσαι,]
τὸ πότε νὰ μὲ κράξωσι νὰ φάγω προσεδόκουν, (P. 694.)
καὶ μόλις εἶδον πίνακα ζωμὸν ἔχοντα πλεῖστον,

235. μονοκίθρου. — 236. ῥίψας, et ων au-dessus de la seconde syllabe de ce mot. — 237. συκώνομαι. — 238. καλλία (*sic*). — 239. κοιτάζω. μονόκιθρον. — 243. οἶδε. — 246. σκλαβόνικον. — 247. ἐντειλίχθην. — 248. ἐπάνω καμελαύχιν en deux mots. — 249. μακρίν.

καὶ ὀλίγον ἀπὸ τὸ παστὸν καὶ θρύμματα μεγάλα,
καὶ δράξας εἰς τὰς χεῖρας μου, ηὔφρανε ἡ καρδιά μου,
ζωμὸν ἰδὼν τὸν περισσὸν καὶ τὰ χονδρὰ κομμάτια.
Τοιαῦτα πέπονθα δεινά, κρατάρχα στεφηφόρε,
παρὰ μαχίμου γυναικὸς καὶ τρισαλιτηρίας,
ὡς εἶδε με κενώτατα ἐλθόντα πρὸς τὸν οἶκον.
Ἂν οὖν μὴ φθάσῃ με τὸ σὸν φιλεύσπλαγχνον, αὐτάναξ,
καὶ δώροις καὶ χαρίσμασι τὴν ἄπληστον ἐμπλήσῃς,
τρέμω, πτοοῦμαι, δέδοικα μὴ φονευθῶ πρὸ ὥρας,
καὶ χάσῃς σου τὸν Πρόδρομον, τὸν κάλλιστον εὐχέτην.

267. κομάτια. — 269. τρισαλητηρίας. — 274. χάσεις.

Καὶ μονοκύθρου μ' ἔδωκε καθ' ὕπνους μυρωδία,
καὶ παρευθὺς τὸν ὕπνον μου ῥίψας ἐκ τῶν βλεφάρων,
ἀναπηδῶ, σηκόνομαι μετὰ σπουδῆς μεγάλης,
παρὰ σκυλὶν λαγωνικὸν κάλλια ῥυηλατήσας,
κυττάζω τὸ μονόκυθρον ἀπέσω εἰς τὸ κουβούκλιν.
Οἱ παῖδες ἐσυνήχθησαν, ἐκάθισαν νὰ φάγουν,
καὶ τὸ τραπέζιν ἔστησαν μὲ τὴν ἐξόπλισίν του·
ὡς δ' εἶδε ταῦτ' ὁ δοῦλος σου χαρᾶς πολλῆς ἐπλήσθην,
ἐλπίζων νὰ μὲ κράξουσι νὰ κάτζωμεν νὰ φᾶμεν·
ὡς δὲ παρέδραμε καιρὸς καὶ τίποτε οὐκ ἐφάνη,
εὐθὺς ἀνακαθέζομαι μετὰ σπουδῆς μεγάλης,
κ' εὑρίσκω τὸ σκλαβώνικον καὶ βάλλω το ἐπάνω,
καὶ τῆς Τομπρίτζας τὸ μανδὶν ἐπάνω το ἐντυλίχθην,
καὶ βάλλω καὶ σκαράνικον ἐπανωκαμελαύχιν,
μακρὺν καλάμιν ἥρπασα, κινῶ πρὸς τὸ κουβούκλιν,
καὶ σφαλισμένον τὸ εὕρηκα καὶ ἀπέξωθεν ἱστάμην·
ἠρξάμην κράζειν συνεχῶς τὸ « δέμνε κυριδάτον »,
τὸ « σάμνε » καὶ τὸ « ντόμυρε » καὶ τὸ « στειροπορτέω ».
Ἔδραμον οὖν οἱ παῖδες μου μηδὲν μεμαθηκότες,
ἀπῆραν ξύλα παρευθὺς καὶ ῥάβδους τε καὶ λίθους,
τὴν σκάλαν μ' ἐκατέβασαν μετὰ πολλοῦ τοῦ τάχους·
ἡ μάννα των γνωρίσασα ἐφώνησε τοὺς παῖδας·
« ἀφῆτε τον, πτωχός ἐνι, καράνος, πελεγρῖνος. »
Καὶ ὡς τὸ ἤκουσα ὁ δοῦλος σου χαρᾶς πολλῆς ἐπλήσθην,
ὅτι ἡ κοιλιά μου ηὐκαίρησεν ἀπὸ τὴν ἀφαγίαν.
Ἡμερωθέντων τοιγαροῦν τῶν παίδων πα[ραυτίκα],
ἀνέβηκα τὴν σκάλαν μου τῇ τούτων ὁδ[ηγίᾳ],
κ' εὐθὺς πηδήσας καὶ εἰσελθών, καὶ προτραπεὶς [καθίσαι,]
τὸ πότε νὰ μὲ κράξωσι νὰ φάγω προσεδόκουν, (P. 694.)
καὶ μόλις εἶδον πίνακα ζωμὸν ἔχοντα πλεῖστον,

235. μονοκίθρου. — 236. ῥίψας, et ων au-dessus de la seconde syllabe de ce mot. — 237. συκώνομαι. — 238. καλλία (*sic*). — 239. κοιτάζω. μονόκιθρον. — 243. οἶδε. — 246. σκλαβόνικον. — 247. ἐντειλίχθην. — 248. ἐπάνω καμελαύχιν en deux mots. — 249. μακρίν.

καὶ ὀλίγον ἀπὸ τὸ παστὸν καὶ θρύμματα μεγάλα,
καὶ δράξας εἰς τὰς χεῖρας μου, ηὔφρανε ἡ καρδιά μου,
ζωμὸν ἰδὼν τὸν περισσὸν καὶ τὰ χονδρὰ κομμάτια.
Τοιαῦτα πέπονθα δεινά, κρατάρχα στεφηφόρε,
παρὰ μαχίμου γυναικὸς καὶ τρισαλιτηρίας,
ὡς εἶδε με κενώτατα ἐλθόντα πρὸς τὸν οἶκον.
Ἂν οὖν μὴ φθάσῃ με τὸ σὸν φιλεύσπλαγχνον, αὐτάναξ,
καὶ δώροις καὶ χαρίσμασι τὴν ἄπληστον ἐμπλήσῃς,
τρέμω, πτοοῦμαι, δέδοικα μὴ φονευθῶ πρὸ ὥρας,
καὶ χάσῃς σου τὸν Πρόδρομον, τὸν κάλλιστον εὐχέτην.

267. κομάτια. — 269. τρισαλήτηρίας. — 274. χάσεις.

ΤΟΥ̃ ΑΥ̓ΤΟΥ̃ ΕἸΣ ΤῸΝ ΣΕΒΑΣΤΟΚΡΆΤΟΡΑ. (P. 694.)

BIBLIOTH. NATIONALE. Manuscrit 396.

Αὐθέντα μου πανσέβαστε, δόξα καὶ καύχημά μου,
ὁ πένης, ὁ παντάπορος, ὁ περιστατημένος,
ὁ πάντοθεν κυκλούμενος μυρίαις δυστυχίαις,
καὶ περιστατιζόμενος κακοῖς ἀναριθμήτοις,
θέλω εἰπεῖν τὰ ἐμαυτοῦ πρὸς τὸν ἐμὸν δεσπότην·
καὶ ἂν ἕνι αὐθέντης οἷος σὺ καὶ ὁ λέγων οἱὸς ἐγώ τε,
νὰ κάθηται, νὰ ψηλαφᾷ, νὰ λέγῃ καὶ νὰ γράφῃ
πολιτικὰ μετριάσματα καὶ πολιτογραφίας,
καὶ λαρυγγίσματα πολλὰ καὶ λέξεις ἐπικρότους,
καὶ νὰ κατάγῃ ἑαυτὸν εἰς τὴν πεζολεξίαν.
Ἐκεῖνα γράφω καὶ λαλῶ ὅσα κινοῦν πρὸς οἶκτον,
ὅσα κινοῦν πρὸς ἔλεον καὶ πρὸς φιλανθρωπίαν·
ὁ γράφων γὰρ σπαταλικά, καὶ λέγων σερφετίας,
φαίνεται ὅτι ἕνι ἁπλόψυχος καὶ ποιεῖ το ἀπὸ σπατάλης.
Ἐγὼ δὲ παρεξέκλινα μικρὸν ἐκ τῆς εὐθείας,
καὶ ἀεὶ μετ' ὀδυρμῶν πολλῶν, καὶ κωκυτῶν καὶ θρήνων,
ῥημάτων γράφω χαρμονήν, γραμμάτων τερποσύνην, (P. 695.)
καὶ οὐ ποιῶ τ' ἀπὸ χαρᾶς, οὐδ' ἐξ ἁπλοψυχίας·
ἀλλὰ μὰ τὴν ἐνοῦσαν μοι πολλὴν στενοχωρίαν,
μὰ τὴν ἐξανεπήλπιστον πολλὴν πεζοπορίαν,
βαδαὶ τὴν πρὸς παλάτιον μέχρι τῆς ἐκκλησίας,
ὡς ἔχει οὕτως νὰ τὸ εἰπῶ, οὕτως νὰ τὸ προσθήσω,
πρόσεχε, μόνον πρόσεχε, πρόσεχε μὴ μὲ θάψῃς!
Ἀλήθεια, δίδεις με πολλά, πλήν, ἂν τὰ συμψηφίσω,

VERS QUINZIÈME. παρεξέκλινα.

τετράμηνον οὐ σώζουν με, ψυχοκρατοῦν οὐδόλως,
μεδίμνους σίτου δώδεκα ψυχροὺς καὶ ἀσβολωμένους,
καὶ οὐκ οἶδα πῶς χορτάζουσιν οἱ δεκατρεῖς τὸν μῆνα,
πάντως ἂν τὸ μυρίζωνται, μόλις νὰ τοὺς ἀρκέσῃ.
Χωρὶς τῶν διδομένων μοι τούτων τῶν τυπωμάτων,
οὐ θέλω ξύλον καύσιμον, οὐ θέλω καὶ καρβούνιν,
οὐ θέλ' ὀψώνιν μερικὸν ἅπαξ τῆς ἑβδομάδος,
οὐ θέλουσιν ὑπόδησιν τοὺς ἔχω μετ' ἐμέναν;
Οὐ θέλω ἐγὼ ὑποδήματα, χειμωνικὰ τουβία,
καὶ κοντοσφίκτουρον παχὺν νὰ τὸ φορῶ εἰς τὴν ψύχραν;
Οὐ θέλουν εἰς τὸ σπίτιν μου λινάριν καὶ βαμβάκιν,
βαψίματα, ῥαψίματα, πετζώματα, πετζία,
ἀλεστικόν, φουρνιατικόν, βαλανικόν, σαπώνιν,
τριψιδογαροπίπερον, κύμινον, καρναβάδιν,
μέλιν, ὄξείδιν, σύσγουδον, ἅλας, ἀμανιτάριν,
σέλινον, πρασομάρουλον, καὶ κάρδαμον, καὶ ἰντίβιν,
σπανάκιν, χρυσολάχανον, γογγύλιν, μαντζιτζάνιν,
φρύγιον κράμβην καὶ γουλίν, καὶ ἀπὸ τὸ κουνουπίδιν;
Οὐ θέλουν εἰς τὰ κόλλυβα τῶν προτελευτησάντων
ἀμύγδαλα, ῥοΐδια, καρυδοκουκκουνάρια, (P. 696.)
καὶ κανναβούριν καὶ φακὴν καὶ στραγαλοσταφίδας;
οὐ θέλουν ἀλειπτούτζικα μασχάτα καὶ κροκάτα;
οὐ θέλει ἡ γυναῖκα μου γυρὶν τὴν Πασχαλίαν;
οὐ θέλει ἡ μάννα μου μανδίν, οὐ θέλει καὶ καλίγια;
Ἀφίνημι τὰ τρανώτερα, κ' ἐμβαίνω εἰς τὴν λέπτην,
εἰς τὰ τζουκκαλολάγηνα καὶ εἰς τὴν χουρδουβελίαν·
τὸ δὸς ἐδῶ, τὸ δὸς ἐκεῖ, τὸ δὸς εἰς τὸ κουκούμιν,
δὸς εἰς καθαροκόσκινον, δὸς εἰς τὸν πωλοτρόφον,
εἰς κηροστούπιν καὶ δαδίν, ἐλάδιν καὶ λινέλιν·
τὸ λάλησε τὸν σικυαστήν, καὶ ἂς ἔλθῃ ὁ φλεβοτόμος·

25. ψυχροκρατοῦν. — 33. τουβία doit être conservé. Voyez sur ce mot le Glossaire de Du Cange. — 35. ὀσπήτιν. — 36. βαψήματα, ῥαψήματα. — 39. ὀξύδιν. — 40. ἰντύβιν. — 43. κόλυμβα. — 45. καναβούριν. — 50. τζουκαλολάγηνα. — 54. λάλησαι. συκιαστήν.

κύρι, τὸ πηγαδόσχοινον ἐκόπην, καὶ ἂς τὸ ἀλλάξουν,
νερὸν ὁ κάδος οὐ κρατεῖ, καὶ ἂς ἀγοράσουν ἄλλον·
ἐπαρεκλάσθη ἡ θύρα μας, κλειδᾶς καὶ ἂς τὴν εὐθειάσῃ,
ἐτραυματιάσεν τὸ παιδίν, γοργὸν ἂς ἀγοράσουν
χαμωμηλέλαιον κάλλιστον, ὄξος, ἀγριοσταφίδαν,
κικίδιν, λυσσομάμμουδον, καὶ ἄλλα τινὰ τοιάδε,
καὶ ἂς ποιήσουν τραυματάλειμμα πρὶν λυκοκαυκαλιάσῃ.
Ἤκουσας, πάντως ἤκουσας τὴν ἔξοδον τὴν ἔχω·
ἐδάρε, μίξον ὁμαδὸν ἅπαγτα τὰ λαμβάνω,
τὴν βόγαν, τὸ μηναῖον μου καὶ τὰς φιλοτιμιάς μου,
τὰ ἐσώτυπα, τὰ ἐξώτυπα, τ' ἀπέδω καὶ τ' ἀπέκει,
καὶ τότε λογαριάσε με καλῶς καὶ εἰς τὰ μὲ δίδεις,
καὶ ἂν μ' εὕρῃς χρώμενον κακῶς εἰς ταῦτα τὰ μὲ δίδεις,
τότε καὶ κατονείδιζε, τότε κατάκρινόν μοι,
ὥσπερ ἐλευθερόψυχον καὶ σπαταλοκρομμύδην. (P. 697.)
Εἰ δ' οὕτως κατακρίνεις με δίχα τινὸς αἰτίας,
ἀπὸ ὀχλήσεως τινῶν ἀνθρώπων χαιρεκάκων,
ἕνι καὶ κρίμα καὶ κακόν, εἰκάζω καὶ ἁμαρτάνεις.
Ταῦτα δὲ πάντα χρῄζουσι κατ' ἔτος εἰς τὸ σπίτι
καὶ πλούσιοι καὶ πένητες, καὶ δοῦλοι καὶ δεσπόται,
καὶ μοναχοὶ καὶ κοσμικοί, καὶ γέροντες καὶ νέοι,
κατὰ τὸ μέτρον ἕκαστος καὶ τὴν ἰδίαν τέχνην.
Οἱ οὖν λαβόντες ἐξ ἀρχῆς ὡς πατρικὸν τους κλῆρον
τῶν πάντων τὴν εὐπάθειαν καὶ τὴν εὐημερίαν,
ἔχουσι πόρους πάντοθεν ἀφθόνως καὶ πλουσίως·
δωροφορεῖ καὶ γὰρ ἡ γῆ, ἡ θάλασσα δὲ πλείω
τὴν ἀφθονίαν τῶν καλῶν καὶ χορηγίαν πάντων.
Οἱ κατ' ἐμὲ δὲ πένητες, οἱ λιμαγχονημένοι,
κλῆρον ὡς ἄλλον πατρικὸν ἔχοντες τὴν πενίαν,
ἐξόδους ἔχοντες πολλάς, εἰσόδους δὲ ὀλίγας,
ὅταν ἐξαπορήσωσι, καὶ δώσουσι καὶ λάβουν,
στρέφονται πρὸς τὰ ῥοῦχα τους, φεῖσαι, Χριστέ μου, τότε!

56. κάδδος. — 57. εὐθιάσῃ. — 61. λυκοκαυκαλιάσει. — 65. τά. τά. — 66. λογαριάσαι. — 67. μέ. — 69. σπαταλοκρομύδιν. — 73. ὁσπήτι.

καὶ δίδουν τα καὶ τρώγουν τα, Χριστέ, τῆς ἀνοχῆς σου!
καὶ ἀφ' ὅτου τὰ χωνεύουσιν, ὡς χρυσοχοὶ τεχνῖται,
καὶ ἀμμοπλύνουν τα καλά, ὥσπερ οἱ ἀμμοπλύται,
ἂν περπατοῦν, νυστάζουσιν· ἂν κάθηνται, κοιμῶνται·
ἱστάμενοι σκελίζονται, τραλίζονται καθ' ὥραν,
ἐκεῖ καὶ ἀστέρας βλέπουσι τροχοὺς πρασινομόρφους,
καὶ ὁμοιάζουν τὸ χειρότερον ὅτι εἶναι μεθυσμένοι,
καὶ μαγειωμένοι καὶ σαλοὶ καὶ παραβροντισμένοι.
Τῷ πάθει τοίνυν συσχεθεὶς κἀγὼ τῷ τῆς ἐνδείας,
ἅπασαν τὴν οὐσίαν μου κατέφαγον ὁ τάλας,
καὶ ἂν τύχῃ ὡς ὑπαγαίνομεν, ἂν οὐ κρατήσῃ εὐδία, (P. 698.)
ἂν οὐκ ἀνοίξῃς θύραν μοι πόθεν τῆς εὐσπλαγχνίας,
καὶ γένομαι ξωχείμαστος, φοβοῦμαι μὴ παρέμπω,
καὶ φάγω καὶ τ' ἀκίνητα, κ' ἔδε θανάτου χεῖρον.
Μὴ σὲ πλανᾷ, πανσέβαστε, τὸ Πτωχοπροδρομάτον,
καὶ προσδοκᾷς νὰ τρέφωμαι βοτάνας ὀρειτρόφους·
ἀκρίδας οὐ σιτεύομαι, οὐδ' ἀγαπῶ βοτάνας,
ἀλλὰ μονόκυθρον παχὺν καὶ παστομαγειρίαν,
νὰ ἔχῃ θρύμματα πολλά, νὰ ἦναι φουσκωμένα,
καὶ λιπαρὸν προβατικὸν ἀπὸ τὸ μεσονέφριν.
Ἀνήλικον μὴ μὲ κρατῇς, μὴ προσδοκᾷς δὲ πάλιν
ὅτι, ἂν μὲ δώσῃς τίποτε, νὰ τὸ κακοδικήσω·
ὅμως ἐκ τῆς ἐξόδου μου καὶ σὺ νὰ καταλάβῃς
τὸ πῶς οἰκοκυρεύω μου τὴν ἅπασαν οἰκίαν.
Λοιπὸν ἡ σὴ προμήθεια συντόμως μοι φθασάτω,
πρὶν φάγω καὶ τ' ἀκίνητα καὶ πέσω καὶ ἀποθάνω,
καὶ λάβῃς καὶ τὰ κρίματα καὶ πλημμελήματά μου,
καὶ τῶν ἐπαίνων στερηθῇς ὧν εἶχες καθ' ἑκάστην·
ἀλλ' ἵλεως σοὶ γένοιτο Χριστός μοι, σεβαστέ μου,
καὶ δοίη σοι τὴν ἀμοιβὴν τῶν εἰς ἐμὲ χαρίτων
πλουσίαν καὶ αἰώνιον, ὡς οἶδεν, ὡς γινώσκει.

97. ὑπαγένομεν. εὐδεία. — 99. ἐξωχείμαστος. — 100. τά. — 102. τρέφομαι. — 104. μονόκιθρον. — 105. εἶναι φουσκομένα. — 107. κρατεῖς. — 108. δώσις. — 112. τά. — 116. δύη.

ΤΟΥ̃ ΑὐΤΟΥ̃ ΠΡΌΣ ΤΌΝ ΜΑΝΟΥΗΛ ΤΌΝ ΚΟΜΝΗΝΌΝ ΚΑΤᾺ ΗΓΟΥΜΈΝΩΝ.

BIBLIOTH. NATIONALE. Manuscrit 1310.

Τολμήσας ἀναφέρω σοι τῷ κραταιῷ δεσπότῃ, (F. 434 *a.*)
τῷ μέγᾳ καὶ νικοποιῷ κραταιῷ στεφηφόρῳ·
καὶ πρόσδεξαι καὶ λῦσον μου τὰς πολυπλόκους δέσεις·
οὐδὲ γὰρ δέονται πολλῶν ἐξόδων ἢ φροντίδων,
ἵνα ῥαθύμως πρὸς αὐτὰς καὶ ἀνειμένως βλέψῃς.
Δέον λοιπὸν ἀναμαθεῖν τὰς νόσους τῶν νοσούντων,
εἶθ' οὕτως καὶ τὴν ἴασιν ἐντέχνως ἐπιθεῖναι·
καὶ θαύμασον τοῦ μύρμηκος τὴν τηλικαύτην τόλμαν,
πῶς ὅλως οὗτος γέγονε τῆς ὅλης μυιοπίας,
καὶ τρέχειν ἴσως ὥρμησεν τοῖς ἰσχυροῖς θηρίοις,
ἀκολουθῶν τοῖς ἴχνεσιν ἀφόβως τῶν λεόντων,
τὴν τῶν ὀνύχων δύναμιν ποσῶς μὴ κεκτημένος.
Ἐμὲ δὲ σκόπει μύρμηκα, δέσποτα στεφηφόρε,
κατὰ τῶν λόγων τὴν ἰσχὺν καὶ τὴν ἀκτημοσύνην,
λέοντας δὲ τοὺς ῥήτορας μετὰ τῶν φιλοσόφων,
οἵτινες ὥσιν δυνατοὶ τοῦ γράφειν καὶ στιχίζειν,
καὶ συγγραφὰς νικητικὰς ἡρωϊκὰς συμπλέκειν·
ὅμως ἐκεῖνοι γράφουσιν σοφῶς καὶ κατὰ λόγον,
ὥσπερ σοφοὶ καὶ ῥήτορες· ἐγὼ δ' οὐχ οὕτως γράφω,
καὶ γὰρ ἀγράμματος εἰμὶ καὶ νέος βακενδύτης,

TITRE. Πτωχοπροδρόμου βιβλίον δεύτερον κατὰ ἡγουμένων.

VERS TROISIÈME. πρόσδεξε. πολυπλόκους λύσεις, et δέ sur λύ. — 5. βλέψεις. — 6. ἀναμαθών, confusion de ω avec ει, assez fréquente en paléographie. — 8. τοιλικαύτην. — 9. οὕτως. — 10. δρμησεν — 14. ἀκτιμωσύνην.

καὶ μοναχὸς τῶν εὐτελῶν, τῶν ἀποκαθισμένων,
καὶ τὴν ἰσχὺν ἐπίσης τε μύρμηκος κεκτημένων·
ἀλλ' οὖν λιτῶς, μοναχικῶς, ἁπλῶς, εὐκολωτάτως.
Οὐδὲ γὰρ μύθους παλαιῶν ἱστοριῶν σοι γράφω,
τῶν νοῦν ἐχόντων ἀκριβῆ, δυσνόητον τὴν λύσιν· (F. 434 *b*.)
εὔληπτα μᾶλλον καὶ σαφῆ, καὶ γνώριμα τοῖς πᾶσιν,
τοῖς τὸν μονήρη τρέχουσιν ἐν κοινοβίοις δρόμον.
Καὶ ταῦτα μέν, ὦ δέσποτα, μόνος ἐγώ σοι γράφω,
ἅπερ καὶ λέξων ἔρχεται κατὰ μικρὸν ὁ λόγος·
καὶ πρόσθες ἄρτι τὸ λοιπὸν ἐμοὶ τὰς ἀκοάς σου,
καὶ πάντα σαφηνίσω σοι κατὰ τὴν πρᾶξιν, ἄναξ.
Ὁπόταν γὰρ εἰς ἔννοιαν ἔλθω τῶν ἡγουμένων,
(δύο γὰρ ἄρχουσιν ἐκεῖ, δέσποτα, παρανόμως,
καὶ παρὰ τὴν διάταξιν πατρὸς τοῦ πανοσίου,
πατήρ, υἱός, τὸ κάκιστον, ὦ θεία δίκη, ζεῦγος!)
καὶ καθαρῶς τὰ παρ' αὐτῶν γινόμενα σκοπήσω,
ἄλλος ἐξ ἄλλου γίνομαι, καὶ τήκομαι τὰς φρένας,
καὶ πίπτω πρὸς ἀπόγνωσιν πάσης τῆς ἀθυμίας.
Ὅταν ἐξέλθω γὰρ μικρὸν ἀπὸ τῆς ἐκκλησίας,
ἂν ῥαθυμήσω πώποτε καὶ λείψω ἀπὸ τὸν ὄρθρον,
οὐ φέρειν ὅλως δύναμαι τὰς προσταγὰς ἐκείνων·
τὸ ποῦ ἦτον 'ς τὸν ἐξάψαλμον, ψωμὶν μηδὲν τὸν δώσουν·
τὸ ποῦ ἦτον εἰς τὸ θυμιατόν, ἂς βάλῃ μετανοίας·
τὸ ποῦ ἦτον εἰς τὸ κάθισμαν, κρασὶν μηδὲν τὸν δώσουν·
τὸ ποῦ ἦτον 'ς τὸν ἑσπερινόν, ἂς τὸν ἐκβάλουν ἔξω.
Τὸν στίχον βάλλε ἀπὸ ψυχῆς καὶ φώναζε μεγάλως,
μὴ συντυχαίνῃς πρόσεχε κἂν ὅλως τὸν ὀδεῖνα,
μὴ κνήθεσαι, μὴ τρίβεσαι, μὴ παραμουρμουρίζῃς,

21. ἀποκαθησμένων. — 22. κεκτημένον. — 25. ἀκριβεῖ. — 34. σκοπίσω. — 40. λήψω. — 41. φέρει, que l'on pourrait conserver, mais je préfère φέρειν à cause du mot suivant, qui commence par une voyelle. — 42. εἰς. ἰξέψαλμον ou ἠξέψ. Les caractères ne sont pas nettement tracés. ψωμήν. δόσουν. — 43. βάλλοι. — 44. κάθησμαν. δόσουν. — 45. εἰς. ἐκβάλλουν. — 47. συντυχένῃς. — 48. κνίθεσε. τρίβεσε.

μὴ ψουψουρίζῃς πρόσεχε κἂν ὅλως τὸν ὁδεῖνα,
ἐξάφες τὰ συχνὰ λουτρά, καλόγερος ὑπάρχεις.
Βαθειὰ καλίκια 'γόρασε, καὶ φόρει τα εἰς τὴν μέσην,
καὶ μὴ φορῇς τὰ χαμηλὰ μὲ τὰς μακρέας μύτας·
ἀπέσω τὰ μανίκια σου καὶ ἀπέσω τραχηλιά σου,
ἐξάφες τὸ νὰ κάθεσαι ποσῶς εἰς τὸν πυλῶνα,
ἐξάφες τὰ προγεύματα καὶ τὰ διπλοσφουγγάτα,
καὶ τὸ νὰ τρώγῃς σύντομα, νὰ πίνῃς κ' εἰς τὸ μέγα,
καὶ σύναγε τὸ πλάτυσμαν καὶ θές το εἰς γωνίαν·
μὴν βλέπῃς τὸ τρανώτερον τὸ μερδικὸν ἐκείνου.
Ἐκεῖνος ἦν' πρωτοπαπᾶς, καὶ σύ 'σαι καλονάρχος·
ἐκεῖνος ἦν' δομέστιχος, καὶ σὺ παρακκλησιάρχης·
ἐκεῖνος ἦν' λογαριαστής, σὺ δὲ εἶσαι θερμοδότης·
ἐκεῖνος δοχιάριος, σὺ δὲ κρομμυδοφύλαξ·
ἐκεῖνος ἦν' γραμματικός, τεχνίτης χερονόμος,
καὶ σὺ οὐδὲ τὸν ἀλφάβητον ἠξεύρεις συλλαβῆσαι·
ἐκεῖνος ἔχ' εἰς τὴν μονὴν κἂν δεκαπέντε χρόνους,
καὶ σὺ ἀκμὴν οὐκ ἐπλήρωσες ἑξάμηνον ἀφ' οὗλθες·
σὺ παρατρέχεις τὴν ὁδὸν πεζὸς μετὰ τζαγγίων,
αὐτὸς δὲ καβαλλάριος διηνεκῶς ὁδεύει,
βουτουλωμένας τοῖς ποσὶν φέρων τὰς φτερνιστῆρας· (F. 435 *a*.)
ἐκεῖνος οἰκονόμος εἶν', καὶ σύ 'σαι κοπροξύστης·
ἐκεῖνος παλατῖνος εἶν', σὺ δὲ σκυβαλοφύλαξ·
ἐκεῖνος ἐδικόνησεν εἰς τὴν μονὴν πολλάκις,
καὶ σὺ ἔβοσκες τὰ πρόβατα κ' ἔδιωχες ταῖς κουρούναις·
ἐκεῖνος πάντ' ἐσέβαινεν σειστὸς εἰς τὸ παλάτιν,
καὶ σὺ ἐκαθέζουν κ' ἔβλεπες πῶς τρέχουν οἱ καροῦχοι,

51. καλήκια. ὡς τήν, autre exemple de la confusion de ει avec ω. — 52. φορεῖς. μήτας. — 54. κάθεσε. — 55. δυπλοσφουγγάτα. — 56. τρώγεις. ποίνεις. Dans l'éd. de Coray il y a γέμα au lieu de μέγα, que donne le ms. Ce n'est peut-être que le résultat d'une erreur typographique. — 59. σύσε. — 60. παρακλ. — 61. ἦσε. — 62. κρομιδοφ. — 63. τεχνήτης. — 68. καβαλάριος. Ce mot et ses congénères sont toujours écrits avec un seul λ. — 69. βουτουλομένας, — 70. ἦν. σύσε. — 71. ἦν. — 73. καίδιοχες. — 74. ἐσέβενεν. παλάτην. — 75. καίβλεπες.

τίναν λαχαίνει τὸ δ' ἐμεῖς, ἐμεῖς δὲ πάλιν τίναν,
καὶ τίναν τὸ παραβατόν, καὶ τίναν τὸ τῆς πρόβας.
Αὐτὸς ἔνεν καλόφωνος, τεχνίτης χερονόμος,
σὺ δὲ τυγχάνεις πάρηχος, καὶ ψάλλειν οὐκ ἰσχύεις·
αὐτὸς ψηφίζει πέρπυρα καὶ γράφει καὶ στρογγύλεα.
σὺ δὲ ψηφίζεις φάβατα καὶ γράφεις κονιδάτα·
αὐτὸς φορεῖ αἰγομέταξα, καὶ σὺ τὴν σαγολέβα·
αὐτὸς ἔχει κἂν τέσσαρα λαμπρὰ κρεββατοστρώσια,
καὶ σὺ κοιμᾶσαι 'ς τὸ ψαθίν, καὶ γέμεις καὶ τὰς ψεῖρας·
αὐτὸς τὸν μῆναν τέταρτον εἰς τὸ λουτρὸν ὑπάγει.
σὺ δὲ ἀπὸ πάσχα ὡς πασχα λουτρὸν οὐδέναν βλέπεις·
αὐτὸς ψουνίζει πάντοτε λαβράκια, φιλομήλας.
καὶ σὺ ποτὲ οὐκ ἠγόρασες κἂν τορνεσιοῦ χαβιάριν·
αὐτὸς κἂν δέκα κέκτηται λίτρας χρυσᾶς λογάριν,
καὶ σὺ φόλαν οὐδέν ἐχεις νὰ δώσ' διὰ τὴν ψυχήν σου,
αὐτὸς τὸν βλέπεις ἔδωκεν εἰς τὴν μονὴν εἰκόνα,
καὶ σαραντάπηχον βλαττίν, καὶ δυὸ κυθροκανδήλας
καὶ σ' ἦλθες ἀνυπόδετος, καὶ δίχα ὑποκαμίσου,
καὶ τὸ βρακίν σου φαίνετον ἀπὸ πενῆντα τρύπας.
Καὶ περιπάτει, ἐμπύρετε, καὶ δούλευε τοὺς πάντας·
οὐκ εἶσαι σεβαστοῦ παιδὶν οὐδὲ κουροπαλάτου,
σαλγαμαριοῦ παιδίν εἰσαι χαβιαροκαταιλύτου,
σκουμπροπαλαμιδόπαστου ἐγγραυλοπαστοφάγου,
καὶ μὴν θωρῇς τοὺς βαθραχούς, τὰς ἴσχας, τὰ ψησσία,
καὶ τρέχουσιν τὰ σάλια σου καὶ συχνοκαταπίνεις·
οὐδὲν ἕνι διὰ λόγου σου τ' ἀδρὺν τὸ παξιμάδιν,
καὶ τὸ παλαμιδόκομμαν, καὶ ἡ θύννα ἡ βρωμιαρέα,

76. λαχένει. Pas plus que Coray, je ne comprends rien à ce vers — 78. τεχνήτης. — 81. κονηδάτα. — 82. αἰγιομέταξα. — 83. κρεβατοστρόσια. — 84. κοιμᾶσε. ψαθήν. γέμης. ψήρας. — 87. λαυράκια. φηλομῆλας. — 89. λύτρας. — 90. δός. — 91. ἔδοκεν. — 92. βλατήν. κηθροκανδ. — 93. σύλθες. — 94. βρακήν. τρίπας. — 95. δούλεβε. — 96. εἶσε. — 97. αρδαμαριου (*sic*), le rubricateur a oublié de tracer le σ initial. ησε. χαβιαροκατελύτου. — 99. θορείς. ψησία. — 100. συχνοκαταπίνης. — 101. παξιμάδην. — 102. παλαμιδόκομαν. θύνα.

καὶ τὸ τυρὶν τὸ κρητικὸν νὰ γδάρῃ τὸν λαιμόν σου·
κατάβαινε 'ς τὴν τράπεζαν, καὶ βόθα τὸν κελλάρην,
καὶ κόφτε ξύλα, καὶ νερὸν καὶ βάλλε 'ς τὸ κακκάβιν,
καὶ δίδε καὶ θερμούτζικον· οὐκ εἶσ' ἐκ τῶν ἐνδόξων· (F. 435 *b*.)
κομμάτια, βλέπω, ἀπέγδαρες τρανὰ καὶ γωνιδάτα,
καὶ μαγεριὰν διπίνακον, οὐκ εἶσ' ἐκ τῶν ἐνδόξων,
καὶ πλύσιμον οὐ δέχεται καθόλου τὸ πινάκιν.
Καὶ παῦσε τὸ νὰ τρῶς πολλά, ν' ἀλέθῃς τόσα τόσα,
ἄπελθε, φτειάσε τὸ θερμόν, δὸς νῖμαν τοῖς πατράσιν,
σκούδασε, φτάσε σήμερον γοργὸν νὰ πᾷς 'ς τὸν μῦλον,
καὶ διάβα κ' εἰς τὸ πέραμαν γοργὸν ὡς ἐξυφτέριν,
ἐρώτησε 'ς τὸ διάβα σου ἐπὶ τοὺς Βενετίκους
τὸ πῶς πουλιέται τὸ τυρίν, τί ἔχει τὸ κεντηνάριν.
Ὕπαγε, λοῦσε σήμερα τὸν μέγαν οἰκονόμον,
λοῦσε καὶ τὸν ἡγούμενον, παράστα καὶ τοὺς δύο·
ὁ μὲν προστάσσει· « τρίψε με, καὶ τάρασσε τὸ σκάμμα. »
ὁ δ' ἄλλος πάλιν· « γέμισε, παράχυσέ με, ἂς ἔβγω. »
Καὶ μετὰ τούτοις ἔρχεται τρίτον ὁ ἐκκλησιάρχης,
πρὸς μὲ σταλεὶς τὸν ταπεινόν, τὸν κατηυτελισμένον.
Πῶς ὑπομείνω, δέσποτα, πῶς ἄνεσιν εὑρήσω;
καὶ πῶς νὰ ζήσω; λέξον με, σὺ γὰρ γινώσκεις πάντα.
Στιγμὴν ἂν λείψω ταπεινὸς ἀπὸ τὴν ἐκκλησίαν,
τὸ κρασοβόλιν μου πωλοῦν τὸ νεροκοπημένον·
ἐγὼ δὲ τρέχω 'ς τὸ νερόν, καὶ σκύφτω καὶ χορταίνω,
καὶ παραυτίκα πιάνει με τὸ ῥῖγος καὶ ἀποθνήσκω.
Ἅπαξ τὸν χρόνον ἂν λουσθῶ, πολλάκις δι' ἀρρωστίαν,
καυκὶν κρασὶν οὐ δίδουν με, τὸ λέγουν εὐλογίαν.

103. τυρήν. λεμόν. — 104. κατάδενε. κελάρην. — 105. Le ms. donne καὶ βάλε, et non κουβάλει, comme l'écrit Coray. κακάδην. — 107. κομάτια. — 108. ήσ. — 109. πλήσιμον. πινάκην. — 111. φτιάσε. νῆμαν. — 112. φτιάσε, au lieu de φτάσε. — 113. ἐξηφτέρην. — 114. σου κ'εἰπέ τούς. — 115. πουλιέτε. — 116. λοῦσαι. — 118. Au lieu de ὁ μὲν προστάσσει, le ms. donne ἐμὲν παράστα. τρίψαι. τόν. — 119. γέμησε. εὔγω. — 122. εὑρίσω. — 124. λήψω. — 125. κρασοβόλην. — 126. σκύφτο. χορτένω. — 127. ῥύγος. — 128. ἀρωστίαν. — 129. καυκήν. εὐλογείαν.

Ἂν ἔλθῃ φίλος μου ποτὲ τὸν χρόνον, νὰ τὸν ἴδω,
τὴν πόρταν ῥωμανίζουσιν, καὶ ἀφίνουσίν τον ἔξω·
ἂν δώσουν στάμενον ποτὲ τὸν χρόνον, νὰ ψουνίσουν,
λέγουσιν· « σήμερον ἰχθὺς οὐ τρώγεται 'ς τὴν μέσην. »
Ἂν δώσῃ τις τὸ ψυχικὸν ἀπὸ τῶν φιλοχρίστων,
κἀνεὶς οὐ βλέπει τὸ κουκκὶν ἀπὸ τοὺς καλογέρους.
Ἂν εἴπω· « δότε με ψωμὶν εἰς τὴν ὑποτροφήν μου, »
λαλοῦσιν· « μὴ ἐξέρχεσαι ποσῶς εἰς τὸν πυλῶνα. »
Καὶ πάντως ἀνυπόδετον ἂν μὲ παραχωροῦσαν
νὰ ξέβαινα, νὰ ἔβλεπα, καὶ οὐκ εἶχα το ἀτιμίαν,
καὶ μᾶλλον ὅταν τρέχουσιν σύνδυο οἱ καροῦχοι·
τὴν γὰρ πολλὴν ἀσφάλειαν τῶν ἡμερῶν τῶν ἄλλων,
οὐκ ἔστιν τόση μοι φροντίς, ὅση τότε τυγχάνει.
Εἰ δὲ πολλάκις κρατηθῶ κ' εἰς τὴν αὐτὴν ἡμέραν,
τοὺς πελεγρίνους τοὺς πτωχοὺς μεγάλως μακαρίζω,
καὶ θέλω τοῦ μιμήσασθαι τὸ ἐλεύθερον ἐκείνων, (F. 436 *a*.)
καὶ οὐκ ἠμπορῶ ὁ κακότυχος, καὶ πῶς νὰ ζήσω οὐκ οἶδα.
Ζητῶ σαπούνιν νὰ λουστῶ, καὶ λέγουν μὲ τὸ ζέμαν.
Ἅπαξ τὸν χρόνον ἄλογον πολλάκις ἂν ζητήσω,
νὰ ἔβγω νὰ ἴδω φίλον μου, μικρὸν νὰ τζαντζαρίσω,
καὶ νὰ φανῶ 'ς τοὺς γείτονας ὅτ' εἶμαι καβαλλάρης.
τὴν πόρταν ῥωμανίζουσιν καὶ οὐδὲ πεζὸν μ' ἀφίνουν,
καὶ κἂν μὴ θέλω, δέσποτα, στανεό μου δὲν ἐβγαίνω.
Ἔχω καὶ πλεῖστα καὶ πολλά, καὶ τίς νὰ τὰ συγγράφῃ;
καταλιμπάνω γὰρ αὐτὰ διὰ τὴν πολυλεξίαν,
ἵνα μὴ φαίνωμαι βαρὺς τῷ κράτει σου καὶ λάλος.
Ὑπὲρ δὲ ταύτης κέκτημαι μικρὰν παρηγορίαν,

131. ῥομα. ἀφήν. — 132. δόσουν. — 133. Au lieu d'ἰχθύς, il semble qu'il y ait ἠχθές, autant que les caractères mal tracés me permettent d'en juger. μέσιν. — 134. δόσῃ. φιλοχρήστων. — 135. κἂν εἷς, comme partout ailleurs; j'ai adopté l'orthographe plus usitée κἀνείς. κουκήν. — 136. ψωμήν. — 137. ἐξέρχεται. — 139. ξέβενα. ἦχα. — 141. πολήν. — 146. εἶδα. — 147. σαπούνην. — 149. εὔγω. — 150. δτίμε. — 151. ῥομανήζουσιν. ἀφήν. — 152. εὐγένω. — 153. συγγράφει. — 155. φαίνομαι. — 156. παρηγωρίαν.

τὰ δ' ἄλλα πῶς ὑποίσωμαι ὁ κατηυτελισμένος,
τὰ τῆς τραπέζης δηλαδὴ τοῦ γεύματος ἐκείνου,
ὅταν τὰ τρία δώσουσιν, καὶ πάντες συναχθῶσιν,
καὶ ψάλουν τὸ « ὑψώσω σε », καὶ ἄρξωνται τοῦ τρώγειν,
καὶ τίς ὑποίσει καθορᾶν τὰ πλήθη τῶν ἰχθύων,
τῶν ἡγουμένων ἔμπροσθεν προκείμενα συνήθως;
Πρῶτον διαβαίνει τὸ ἔγζεστον ψησσόπουλον τουρδάτον,
καὶ δεύτερον ἀκρόβραστον μαζὶ μ' ἀρβελισμένον,
καὶ τρίτον ὀξυνόγλυκος κροκάτη μαγειρία,
ἔχουσα στάχος, σύσγουδον, καριόφυλλον, τριψίδιν,
ἀμανιτάριν ὄξος τε, καὶ μέλιν ἐκ τ' ἀκάπνιν,
καὶ μέσα κεῖται κόκκινος μεγάλη φιλομῆλα,
καὶ κέφαλος τρισπίθαμος αὐγάτος ἐκ τὸ Ῥήγιν,
καὶ συναγρίδα πεπανή, (ὦ θέ μου, μαγερία!
νὰ ἔφαγα τὰ θρύμματα, καὶ νἄπια τὸ ζουμίτζιν,
καὶ χιώτικον νὰ κότζωσα κἂν τέσσαρα μουχρούτια,
καὶ νὰ ῥευξάμην ἔμνοστα καὶ νὰ παρηγορήθην!)
καὶ τέταρτον ὀπτούτζικα καὶ ἀπέκει τὰ τηγάνου,
κομμάτια συακοκόμματα, τριγλία μουστακάτα,
καὶ διπλοτήγανον παχὺν μεγάλαις ἀθερίναις,
καὶ κιθαργὸς ὀπτούτζικος ἀκέραιος μὲ τὸ γάρος,
τὸ καρναβάδιν ἄνωθεν ὡς κάτω πεπασμένος,
καὶ πάλιν ἀπολάκτισμαν μεγάλου λαβρακίου.
Καὶ τὶς Ἀκρίτης ἕτερος ἐκεῖ νὰ βρέθη τότε,
καὶ τὰς ποδεάς του νἄμπηξεν, νὰ πῆρεν τὸ ῥαβδίν του,
καὶ μέσον νὰ κατέβηκεν εὐθύς, ὡς ἀγουρίτζης,
καὶ νὰ τοὺς ἐσυνέτριψεν τοὺς παλαμναίους μίσσους! (F. 436 *b*.)
Πολλάκις μὲ παρέτρυνεν ὁ λογισμὸς νὰ γέρθω,

157. ὑπήσωμαι. — 159. δόσουσιν. — 160. ψάλλουν. ἄρξονται. — 163. ψυσόπουλον. — 164. ἀκρόβραστρον μαζεῖ. — 165. ὀξυνόγλυκον. — 166. καριόφυλον τριψίδην. — 168. κόκινος. — 169. τρισπύθαμος. ρύγην. — 171. θρύματα. ζουμίτζην. — 172. κότζοσα. — 173. ἔμνωστα. — 175. κομάτια σιακοκόματα. — 176. διπλοτύγανον. μεγάλες ἀθερίνες. — 177. ἀκέρεος. — 179. λαυρακίου. — 180. ἀκρήτις. — 181. ῥανδίν. — 183. μίσους. Ce mot est toujours écrit avec un seul σ.—184. παρέτρινεν.

185 νὰ 'μπῶ 'ς τὴν μέσην καὶ νὰ 'βγῶ, νὰ δώσω καὶ νὰ πάρω,
μὴ νὰ τζακώσω πίναξαν κἀνέναν εἰς τὰς χεῖρας,
καὶ πιάσω καὶ συντρίψω τον, καὶ σφίξω τοὺς ὀδόντας,
καὶ σύντζεφλον λαφύξω τον, καθάπερ ἄρνα λέων!
Ἀλλ' ὁ χορός, ὦ δέσποτα, τῶν ωμματοφυλάκων
190 οὐδ' ἀτενίσαι καὶ ἰδεῖν κἂν ὅλως μὲ ἀφίνουν.
Μετὰ δὲ τὴν παράθεσιν ὧν εἴρηκα βρωμάτων,
εἰσῆλθεν, ὦ τοῦ θαύματος! καὶ τὸ μονοκυθρίτζιν,
ὑπεραθνίζον ὀλιγόν, καὶ πέμπον εὐωδίαν.
Ὅμως, εἰ βούλει, μάνθανε καὶ τὰ τοῦ μονοκύθρου·
195 κραμβὶν καρδίαι δώδεκα χονδραὶ καὶ χιονάται,
καὶ ξιφιοτράχηλον παστόν, κυπρίνου ἀπαξιμάδιν,
γλαύκους χλωροὺς κἂν εἴκοσι, ἀπάκιν βερζιτίκιν,
αὐγὰ κἂν δεκατέσσαρα, καὶ κρητικὸν τυρίτζιν,
ἀθότυρα κἂν τέσσαρα, καὶ βλάχικον ὀλίγον,
200 καὶ λίτραν μίαν ἔλαιον, πιπέριν φαῦκταν μίαν,
σκόρδα κεφάλια δώδεκα, καὶ τζίρους δεκαπέντε,
ἀπαλαρεὰ μουχρούτινος γλυκὺν κρασὶν ἀπάνω,
ἀνακομπώματα τρανά, καὶ τότε βλέπε βούκκας.
Αἴ τζοῦκκα ποῦ τὰ χώρεσες καὶ πῶς οὐδὲν ἐσχίστης!
205 ἐκείνη βαπτιστῆρα 'τον οὐκ ἦτον τζουκκαλοῦδα.
Ἐκίνησαν τὰ σάλια μου, Χριστέ, νὰ τὴν ἐπιάσω,
Χριστέ μου, νὰ τὴν ἔπιασα, σὰν ἦτον φουσκωμένη,
νὰ κάθισα 'ς τὸ πλάγιν της, ν' ἀρξάμην ρουκανίζειν,
νὰ χρίστην τὸ μουστάκιν μου, νὰ κράτησεν λιγδίτζαν,
210 νἀγκώθην ἡ κοιλία μου, ν' ἀπλώθην ἡ ψυχή μου!
Καὶ τότε νᾶδες, δέσποτα, πηδήματα νεωτέρου,

